

ARX ATHENARVM

A PAVSANIA DESCRIPTA

IN VSVM SCHOLARVM

EDIDERVNT

OTTO IAHN ET ADOLFVS MICHAELIS



EDITIO TERTIA ACTIS ARCIS ET FASCICVLO TABVLARVM AVCTA

BONNAE
APVD A. MARCVM ET ED. WEBER
MDCCCCI

INSTITVTO ARCHAEOLOGICO IMPERII GERMANICI

QVOD WILHELMO DOERPFELD ET PAVLO WOLTERS MODERANTIBVS

ATHENIS CONSISTIT

ET

SOCIETATI ARCHAEOLOGICAE ATHENIENSI

CVI PANAGIOTES KABBADIAS A LITTERIS ET OPERIBVS EST

ARCIS CECROPIAE EIVSQVE MONVMENTORVM


PERITIS RECVPERATORIBVS CONSERVATORIBVS SCRVTATORIBVS INTERPRETIBVS

HVIVS LIBELLI LIBERALIBVS FAVTORIBVS

DIE XII MENSIS MARTII ANNI MDCCCC

V·S·L·L·M·M

ADOLFVS MICHAELIS



OTTO IAHN


Ecce iterum Pausanias, qui post altera quattuor lustra idem iter repetens ut Χλῶρος ille ἀειθαλὴς apud poetam nostratem omnia circum noua, omnia mutata uidet. qui liber, cum abhinc quadraginta fere annos ab OTTONE IAHN, auunculo dilectissimo mihique numquam non desideratissimo, primum emitteretur, dum quidquid litterarum antiquarum ad arcem Athenarum spectabat collecta proponit, tenui ambitu et modico tabularum Athenis a me delineatarum apparatu contentus utilem studiis archaeologicis opem praestitit. at creuit opus suapte ui et natura; nam cum post duo decennia idem libellus mihi retractandus esset, maiore forma et amplioribus artis praesidiis instructus prodiit et magis magisque feruentibus his studiis locum sibi apud eruditos parauit. iam uero tertium redeunti libro fortuna arrisit, cum et uastus ille titulorum Atticorum thesaurus ab academia Borussica diuturnis et doctis trium uirorum studiis paratus nunc aliquatenus absolutus omnibus praesto sit et saluberrimo consilio PANAGIOTES KABBADIAS, cui cura monumentorum regni Graeci mandata est, impigro aliquot annorum labore Palladis arcem terris et ruderibus per longam saeculorum seriem congestis ita liberauit, ut ubique aut ad ipsum saxum aut ad monumentorum antiquorum reliquias opus descenderet; quo factum est ut arcis qualis ante bella Persica fuerat certa memoria tamquam ex cineribus resurgeret: praeclarum opus summisque laudibus dignum. quid mirum si iam sui aliquanto dissimilis hic liber prodit. creuit enim ipse descriptionis ambitus, cum meridionales quoque arcis radices complectatur; creuit commentarius ab omni parte auctus et melius ni fallor dispositus; creuit

appendix epigraphica tot et tam grauibus titulis eisque antiquissimis locupletata; creuit tabularum apparatus, ut iam suum sibi fasciculum utpote usui multo faciliorem posceret; succreuit denique historia arcis ex ipsis auctorum locis concinnata, qua et scholarum usui et doctorum commodis melius consultum uolui. quae cum ita sint, non contra modestiam uel pietatem peccasse mihi uideor, quod in fronte libelli nomini primi editoris, qui olim morti uicinus studiorum et curarum socium me appellauit, meum nomen subiunxi.

Liber ita auctus uerendum fuit ne pretio pariter aucto ab usu scholarum, cui maxime destinatus est, prorsus alienaretur; quis enim ignorat ciuium nostrorum academicorum sacculos aranearum plenos? simili difficultati olim succurrit munificentia optimi cuiusdam amici cum utroque editore fraterno amore coniuncti, qui cum uiuus ne nomen quidem suum nosci uoluerit, nunc, postquam multis ille bonis flebilis occidit, nomen eius non tacebo; τὸ γὰρ γέρας ἐστὶ θανόντων. RVDOLFVS WACHSMVTH erat, Lipsiensis, iuris doctor et mensarius honestissimus, qui antiquitatis Graecae si non studia at reuerentiam quandam a patre Wilhelmo quasi hereditariam acceperat mihique per quadraginta annos amicum se praestitit quo non mihi fuerit deuinctior alter. cuius praesidio orbatus quod nihilominus liber pretio non nimis magno nunc quoque parari poterit, id summae munificentiae debetur et ILLVSTRISSIMI PRINCIPIS HERMANNI DE HOHENLOHE-LANGENBVRG, Augustissimi Imperatoris in hac imperii Germanici prouincia uicarii, et REGIAE ACADEMIAE BORVSSICAE; sociata enim liberalitate tabularum sumptus in se receperunt. cuius beneficii gratias quam maximas et principi illustrissimo et regiae academiae hoc loco repetere liceat.

Sperare audeo — absit inuidia uerbo — arcem eiusque monumenta nunc in aliquanto clariore luce posita esse; quod si re uera mihi contigit, huius rei meritum maxime ad tres illos uiros redundat, quorum nomina in pagina dedicatoria legis. PANAGIOTES KABBADIAS, qua semper ergo me officiosa liberalitate fuit, usum formarum arcis et delineationum nondum publici iuris factarum benigne permisit. WILHELMVS DOERPFELD et multas delineationes nouas aut a semet aut se auctore et correctore ab idoneis architectis factas mihi suppeditauit et ad quaslibet quaestiones eadem cum facilitate et peritia respondens eo magis se mihi deuinxit, quo longius a quibusdam uiri ingeniosissimi sententiis recedendum mihi puto. PAVLVS denique WOLTERS, cum numquam ne in molestissimis quidem quaestionibus petenti mihi deesset, ueterem amicitiam et pietatem denuo comprobauit. qui cum nunc Athenis relictis in patriam redierit, nomen eius, quamuis hic libellus Παναθηναίων κατόπιν et post eius discessum prodeat, in illa pagina relictum huius studiorum societatis simulque τῶν λιπαρῶν καὶ ἰοστεφάνων Ἀθηνῶν ab utroque nostrum aeque dilectarum illum commonefacere uelim. neque grati animi testificationem erga duos amicos omittam, qui siue per litteras siue praesenti sermone haec mea studia a se non aliena esse mihi comprobarunt: OTTONEM dico BENNDORF Vindobonensem et BRVNONEM KEIL collegam coniunctissimum Argentoratensem.

Cum huius libri sit facta et acta colligere, non de rebus controuersis disputare, de una tamen re sententiam meam breuiter significandam sentio, quippe quae ad templorum arcis nomina a me probata spectet. qua in re me a WILHELMO DOERPFELD, cuius opinionem hodie fere obtinere constat, toto caelo dissentire profiteor. cum uero de hac quaestione propediem in annalibus Instituti Archaeologici Berolinensibus pluribus disputare in animo sit, hoc loco summa tantum tangere sufficit. templo a KABBADIA e ruderum mole recuperato, a DOERPFELDO sagaciter agnito, quod ἀρχαῖον νεὼν nuncupare consueuerunt, subiacent reliquiae antiquioris aedificii, quarum formam a DOERPFELDO delineatam et postquam tabula quinta iam absoluta est mecum communicatam hic subicio. has reliquias artis Mycenaeae quae dicitur non ad templum aliquod pertinere, quae illis temporibus nulla fuere, sed ad regiam, ipsorum murorum



A—G partes Hecatompedi (tab. V), cuius fundamenta indicata sunt.
aa' bases columnarum suo loco relictae.
b murus eundem oecum a tergo terminans.
cde muri ad alias aedium partes pertinentes.
f iter siue λαύρα.
gh reliquiae pauimenti.
i basis rotunda muro Hecatompedi inserta.

VESTIGIA DOMVS ERECHTHEI SVB HECATOMPEDO LATENTIA

situs declarat. tenemus igitur uestigia Ἐρεχθῆος πυκινοῦ δόμου (AA 9). in eius locum saeculo sexto successit templum in antis centenarium, aliquanto postea columnis cinctum (tab. V). utriusque enim formae ac status, et simplicioris et ornatioris, documenta supersunt reliquiae fastigiorum, et prioris quidem ectypum e poro factum Typhonem tricorporem exhibens (id quod Theodorvs Wiegand mox demonstraturus est), posterioris statuae marmoreae (cf. tab. IV). quae sculpturae templum ante medium saeculum sextum coeptum, exeunte eodem saeculo ampliore forma absolutum esse docent. hoc igitur templum hodie uulgo creditur antiquissimum, immo usque ad bella Persica unicum Mineruae in arce delubrum fuisse. quod recte se habere nego. neque enim perspicitur quomodo interpolatoribus Iliadis Pisistrateis (AA 10) templum tunc recentissimum temporibus Homericis tribuere licuerit, neque intellegitur quomodo Eratosthenes uir eruditissimus aedem Pisistrati temporibus conditam ad Erichthonium referre potuerit (AA 12* p. 88). immo uero ab hoc templo, quod ut erat centenarium ita Ἑκατόμπεδον appellabatur, diuersus fuit antiquissimus ille Mineruae πίων νηός, in quo dea Erechtheo alumno suo locum concesserat. atqui in Ἐρεχθέος νηῷ, id est in ea communis aedis parte in qua Erechtheus colebatur, oleam et mare Erechtheum, certaminis deorum signa, extitisse Herodotus testis est locuples (AA 56). itaque quo fere loco duplex ille ἀρχαῖος νεὼς quaeri debeat, cum de utriusque signi loco dubitari non possit, certo constat. et re uera, cum iam anno 506 τοῦ ἀρχαίου νεὼ certa mentio fiat (AA 42, cf. ad c. 26, 25**), hoc nomen autem καινὸν νεὼν requirat, iam tum duo Mineruae templa in arce extitisse manifestum est. eodem redit titulus de Hecatompedo anno 485/4 scriptus (AE 20), si modo recte u. 10 suppleui: [ἐκ τοῦ ν]εὼ (scilicet τοῦ νεώ, τοῦ ἀρχαίου) καὶ τοῦ προ[νηίου καὶ τ]οῦ β[ω]μοῦ [καὶ νο]τόθεν τ[οῦ ν]εὼ ἐντὸς τοῦ Κ[εκροπίου (cuius situs prope τὴν τῶν κορῶν πρόστασιν constat) καὶ ἀν]ὰ πᾶν τὸ Ἑκατόμπ[εδ]ον. itaque qui hodie uulgo ἀρχαῖος νεὼς audit potius καινὸς νεὼς fuit, et uenerabile illud nomen uetustiori collegae concedet, ipse magnificentiore nomine τοῦ Ἑκατομπέδου contentus.

Hecatompedon Persico tumultu incendio grauem iacturam fecisse et partes columnarum, epistyliorum, triglyphorum, metoparum, coronae moenibus arcis a Cimone aedificatis insertae euincunt (tab. XIV. XV) et Hesychius diserte testatur (ad c. 24, 32*). nec tamen statim prorsus sublatum est, sed pristinum aedis ambitum, postquam anno 450 copiae Deliae in arcem translatae sunt (AA 81), thesauri uice functum esse certe a probabilitate non abhorret. at postquam Parthenon cum opisthodomo suo anno 435 absolutus recipiendis illis copiis uacauit, Hecatompedo ad hanc rem iam non erat opus. denique cum duplex ille ἀρχαῖος νεὼς inter

procellas belli Peloponnesiaci elegantiore forma instaurari coeptus et post aliquot annorum intermissionem anno fere 407 absolutus esset, informibus illis reliquiis templi Pisistratei, quae uicinae aedi elegantissimae grauiter officiebant, nulla uenia erat relicta. itaque certum uidetur Athenienses priscas istas parietinas omni cultu destitutas consulto remoturos fuisse, nisi fatum eis succurrisset anno 406/5 fulmine incenso τῷ παλαιῷ τῆς Ἀθηνᾶς νεῷ. nam hoc nomine non posse significari τὸν ἀρχαῖον νεὼν illis ipsis annis nouo cultu restitutum, sed templum reapse uetustum requiri concedet quisquis quid inter παλαιὸν et ἀρχαῖον intersit intellegit. quem per casum etiam renouati illius ἀρχαίου νεὼ tectum ita laesum esse, ut nouis trabibus opus esset (AE 30. 31), in tanta utriusque aedis proximitate quis miretur? Hecatompedi uero ullam post illud incendium mentionem fieri ut nego et pernego, ita persuasum habeo et contendo, ubicumque usque ad Strabonis tempora (ad c. 26, 38) de ἀρχαίῳ νεῷ sermo fiat, aedem Mineruae cum Erechtheo coniunctam (cf. ad 26, 25*) dici, ubicumque Opisthodomi mentio fiat, de Parthenonis opisthodomo agi. cuius meae persuasionis argumenta mox exponam.

Scribebam Argentorati a. MDCCCCI die IX mensis Septembris, quo die abhinc XXXII annos Otto Iahn mortem obiit.

AA indicat Acta Arcis, AE Appendicem Epigraphicam.



Lapidibus fissilibus et arenaceis superimpositum est stratum margae scamillis lapidis calcarii intermixtae, e quo eminent lapidis calcarii caerulei culmina

ACTA ARCIS ATHENARVM
EX AVCTORIBVS ANTIQVIS COMPOSITA

ARCIS ANTIQVISSIMA MEMORIA

1 Plato Critiae 5 p. 111^E^ τὸ ἄστυ κατῳκισμένον ὧδ' ἦν ἐν τῷ τότε χρόνῳ. πρῶτον μὲν τὸ τῆς ἀκροπόλεως εἶχε τότε οὐχ ὡς τὰ νῦν ἔχει. νῦν μέν γὰρ μία γενομένη (112^A^) νὺξ ὑγρὰ διαφερόντως γῆς αὐτὴν ψιλὴν περιτήξασα πεποίηκε, σεισμῶν ἅμα καὶ πρὸ τῆς ἐπὶ Δευκαλίωνος φθορᾶς τρίτου πρότερον ὕδατος ἐξαισίου γενομένου· τὸ δὲ πρὶν ἐν ἑτέρῳ χρόνῳ μέγεθος μὲν ἦν πρὸς τὸν Ἠριδανὸν καὶ τὸν Ἰλισὸν ἀποβεβηκυῖα καὶ περιειληφυῖα ἐντὸς τὴν Πύκνα καὶ τὸν Λυκαβηττὸν ὅρον ἐκ τοῦ καταντικρὺ τῆς Πυκνὸς ἔχουσα, γεώδης δ' ἦν πᾶσα καὶ πλὴν ὀλίγων ἐπίπεδος ἄνωθεν . . . . . (^C^) κρήνη δ' ἦν μία κατὰ τὸν τῆς νῦν ἀκροπόλεως τόπον, ἧς ἀποσβεσθείσης ὑπὸ τῶν σεισμῶν τὰν ὖν νάματα σμικρὰ κύκλῳ καταλέλειπται, τοῖς δὲ τότε πᾶσι παρεῖχεν ἄφθονον ῥεῦμα, εὔκρὰς οὖσα πρὸς χειμῶνά τε καὶ θέρος.

2 Thvcydides *2,* 15 τὸ πρὸ τούτου ἡ ἀκρόπολις ἡ νῦν οὖσα πόλις ἦν καὶ τὸ ὑπ' αὐτὴν πρὸς νότον μάλιστα τετραμμένον. τεκμήριον δέ· τὰ γὰρ ἱερὰ ἐν αὐτῇ τῇ ἀκροπόλει ⟨τὰ ἀρχαιότατα τῆς τε Ἀθηνᾶς⟩ (ins. Michaelis) καὶ ἄλλων θεῶν ἐστι (καὶ τὰ τῆς Ἀθηνᾶς ins. Classen, καὶ τῆς Ἀθηναίας Herwerden), καὶ τὰ ἔξω πρὸς τοῦτο τὸ μέρος τῆς πόλεως μᾶλλον ἵδρυται, τό τε τοῦ Διὸς τοῦ Ὀλυμπίου καὶ τὸ Πύθιον καὶ τὸ τῆς Γῆς καὶ τὸ ἐν Λίμναις Διονύσου, ᾧ τὰ ἀρχαιότερα Διονύσια τῇ δωδεκάτῃ ποιεῖται ἐν μηνὶ Ἀνθεστηριῶνι, ὥσπερ καὶ οἱ ἀπ' Ἀθηναίων Ἴωνες ἔτι καὶ νῦν νομίζουσιν· ἵδρυται δὲ καὶ ἄλλα ἱερὰ ταύτῃ ἀρχαῖα, καὶ τῇ κρήνῃ τῇ νῦν μὲν τῶν τυράννων οὕτω σκευασάντων Ἐννεακρούνῳ καλουμένῃ, τὸ δὲ πάλαι φανερῶν τῶν πηγῶν οὐσῶν Καλλιρρόῃ ὠνομασμένῃ ἐκεῖνοί τε ἐγγὺς οὔσῃ τὰ πλείστου ἄξια ἐχρῶντο, καὶ νῦν ἔτι ἀπὸ τοῦ ἀρχαίου πρό τε τῶν γαμικῶν καὶ ἐς ἄλλα τῶν ἱερῶν νομίζεται τῷ ὕδατι χρῆσθαι. καλεῖται δὲ διὰ τὴν παλαιὰν ταύτῃ κατοίκησιν καὶ ἡ ἀκρόπολις μέχρι τοῦδε ἔτι ὑπ' Ἀθηναίων πόλις.

HISTORIA FABVLARIS. CERTAMEN DEORVM. CECROPS ERECHTHEVS ERICHTHONIVS

3 EVSEBIVS praep. euang. *10*, 9, 22 πρῶτος Κέκροψ λέγεται Ζῆνα κεκληκέναι τὸν θεόν, μὴ πρότερον οὕτω παρ' ἀνθρώποις ὠνομασμένον, ἔπειτα βωμὸν παρ' Ἀθηναίοις ἱδρῦσαι πρῶτος, καὶ πάλιν πρῶτος Ἀθηνᾶς ἄγαλμα στήσασθαι, ὡς οὐδὲ τούτων ἐκ παλαιοῦ ὑπαρχόντων. || PAVSANIAS *8*, *2*, 3 ὁ (Κέκροψ) Δία τε ὠνόμασεν Ὕπατον πρῶτος καὶ ὁπόσα ἔχει ψυχὴν τούτων μὲν ἠξίωσεν οὐδὲν θῦσαι, πέμματα δὲ ἐπιχώρια ἐπὶ τοῦ βωμοῦ καθήγισεν. cf. PAVS. *1*, *26*, 25.

4 APOLLODORVS *3*, 177 (14, 1) Κέκροψ αὐτόχθων . . . τῆς Ἀττικῆς ἐβασίλευσε πρῶτος . . . (178) ἐπὶ τούτου, φασίν, ἔδοξε τοῖς θεοῖς πόλεις καταλαβέσθαι, ἐν αἷς ἔμελλον ἔχειν τιμὰς ἰδίας ἕκαστος. ἧκεν οὖν πρῶτος Ποσειδῶν ἐπὶ τὴν Ἀττικὴν καὶ πλήξας τῇ τριαίνῃ κατὰ μέσην τὴν ἀκρόπολιν ἀπέφηνε θάλασσαν, ἣν νῦν Ἐρεχθηίδα καλοῦσι. μετὰ δὲ τοῦτον ἧκεν Ἀθηνᾶ καὶ ποιησαμένη τῆς καταλήψεως Κέκροπα μάρτυρα ἐφύτευσεν ἐλαίαν, ἣ νῦν ἐν τῷ Πανδροσείῳ δείκνυται. (179) γενομένης δὲ ἔριδος ἀμφοῖν περὶ τῆς χώρας [Ἀθηνᾶν καὶ Ποσειδῶνα] διαλύσας Ζεὺς κριτὰς ἔδωκεν οὐχ ὡς εἶπόν τινες Κέκροπα καὶ Κραναὸν οὐδὲ Ἐρυσίχθονα, θεοὺς δὲ τοὺς δώδεκα. καὶ τούτων δικαζόντων ἡ χώρα τῆς Ἀθηνᾶς ἐκρίθη, Κέκροπος μαρτυρήσαντος ὅτι πρώτη (epit. Vat. et fragm. Paris. R: πρῶτον codd. Apollod.) τὴν ἐλαίαν ἐφύτευσεν. Ἀθηνᾶ μὲν οὖν ἀφ' ἑαυτῆς τὴν πόλιν ἐκάλεσεν Ἀθήνας, Ποσειδῶν δὲ θυμῷ ὀργισθεὶς τὸ Θριάσιον πεδίον ἐπέκλυσε καὶ τὴν Ἀττικὴν ὕφαλον ἐποίησε. || cf. HERODOTVS *8*, 55 (infra n. 56).

5 SVIDAS Διὸς ψῆφος· οὕτως καλεῖται ἐν ᾧ Ἀθηνᾶ καὶ Ποσειδῶν ἐκρίθησαν. Κρατῖνος Ἀρχιλόχοις "Ἔνθα Διὸς μεγάλου θᾶκοι πεσσοί τε καλοῦνται". ὁ γὰρ τόπος ἐν ᾧ ἐκρίθησαν Διὸς ψῆφος καλεῖται.

6 HESYCHIVS Διὸς θᾶκοι καὶ πεσσοί· τινὲς γράφουσι "ψῆφοι". φασὶ δὲ ἐν τῇ τῶν Ἀθηναίων (θεῶν Iahn περὶ τῶν Ἀθηνῶν Michaelis) διαψηφίσει, ὅτε ἠμφισβήτει Ἀθηνᾶ καὶ Ποσειδῶν, τὴν Ἀθηνᾶν Διὸς δεηθῆναι ὑπὲρ αὑτῆς τὴν ψῆφον ἐνεγκεῖν καὶ ὑποσχέσθαι ἀντὶ τούτου τὸ τοῦ Πολιέως ἱερεῖον πρῶτον θύεσθαι ἐπὶ βωμοῦ.

7 SCHOL. EVRIP. Hippol. 974 αἱ Ἀθῆναι πρῶτα κατὰ τὸν μῦθον ἀναφανεῖσαι πολλοὺς τῶν θεῶν εἵλκυσαν εἰς ἔρωτα ἑαυτῶν, ἐξαιρέτως δὲ παρὰ τοὺς λοιποὺς θεοὺς Ἄρης καὶ Ἀθηνᾶ τῆς πόλεως ἤρων καὶ ἀντεποιεῖτο ἑκάτερος. καθιστῶσιν οὖν αὐτοὺς τοὺς πολίτας τοὺς Ἀθηναίους δικαστάς, τίνι ἂν ἡ πόλις προσήκοι μᾶλλον. Ἀθηναῖοι δὲ λέγουσι τῷ δεδειχότι σημεῖόν τι ἐν πόλει ἐκείνῳ ἀνατεθῆναι ταύτην. Ἀθηνᾶ οὖν ἐλαίαν ἐν τῇ ἀκροπόλει ἐξέφυσε καὶ οὕτως νικήσασα τὴν πόλιν ἔλαβεν ἑαυτῇ.

8 PAVSANIAS *1*, *27*, 1 κεῖται ἐν τῷ ναῷ τῆς Πολιάδος Ἑρμῆς ξύλου, Κέκροπος εἶναι λεγόμενον ἀνάθημα.

9 HOMERVS η, 80 ὣς ἄρα φωνήσασ' ἀπέβη γλαυκῶπις Ἀθήνη Πόντον ἐπ' ἀτρύγετον, λίπε δὲ Σχερίην ἐρατεινήν, Ἵκετο δ' ἐς Μαραθῶνα καὶ εὐρυάγυιαν Ἀθήνην, Δῦνε δ' Ἐρεχθῆος πυκινὸν δόμον. (AESCHYLVS Eumen. 855 πρὸς δόμοις Ἐρεχθέως.)

10 HOMERVS B, 546 οἳ δ' ἄρ' Ἀθήνας εἶχον ἐυκτίμενον πτολίεθρον, Δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' Ἀθήνη Θρέψε Διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος ἄρουρα, Κὰδ δ' ἐν Ἀθήνῃς εἷσεν ἑῷ ἐνὶ πίονι νηῷ· (550) Ἔνθα δέ μιν ταύροισι καὶ ἀρνειοῖς ἱλάονται Κοῦροι Ἀθηναίων περιτελλομένων ἐνιαυτῶν.

11 ANTIGONVS hist. mirab. 12 Ἀμελησαγόρας ὁ Ἀθηναῖος ὁ τὴν Ἀτθίδα συγγεγραφὼς οὔ φησι κορώνην προσίπτασθαι πρὸς τὴν ἀκρόπολιν, οὐδ' ἔχοι ἂν εἰπεῖν ἑωρακὼς οὐδείς. ἀποδίδωσιν δὲ τὴν αἰτίαν μυθικῶς. φησὶν γὰρ Ἡφαίστῳ δοθείσης τῆς Ἀθηνᾶς συγκατακλιθεῖσαν αὐτὴν ἀφανισθῆναι, τὸν δὲ Ἥφαιστον εἰς γῆν [πεσόντα] προίεσθαι τὸ σπέρμα, τὴν δὲ γῆν ὕστερον αὐτῷ

ἀναδοῦναι Ἐριχθόνιον, ὃν τρέφειν τὴν Ἀθηνᾶν καὶ εἰς κίστην καθεῖρξαι καὶ παραθέσθαι ταῖς Κέκροπος παισίν, Ἀγραύλῳ καὶ Πανδρόσῳ καὶ Ἕρσῃ, καὶ ἐπιτάξαι μὴ ἀνοίγειν τὴν κίστην ἕως ἂν αὐτὴ ἔλθῃ. ἀφικομένην δὲ εἰς Παλλήνην φέρειν ὄρος, ἵνα ἔρυμα πρὸ τῆς ἀκροπόλεως ποιήσῃ, τὰς δὲ Κέκροπος θυγατέρας τὰς δύο, Ἄγραυλον καὶ Πάνδροσον, τὴν κίστην ἀνοῖξαι καὶ ἰδεῖν δράκοντας δύο περὶ τὸν Ἐριχθόνιον· τῇ δὲ Ἀθηνᾷ φερούσῃ τὸ ὄρος, ὃ νῦν καλεῖται Λυκαβηττός, κορώνην φησὶν ἀπαντῆσαι καὶ εἰπεῖν ὅτι Ἐριχθόνιος ἐν φανερῷ, τὴν δὲ ἀκούσασαν ῥίψαι τὸ ὄρος ὅπου νῦν ἐστι, τῇ δὲ κορώνῃ διὰ τὴν κακαγγελίαν εἰπεῖν ὡς εἰς ἀκρόπολιν οὐ θέμις αὐτῇ ἔσται ἀφικέσθαι.

12 APOLLODORVS *3*, 189 (14, 6) τοῦτον (Erichthonium) Ἀθηνᾶ κρύφα τῶν ἄλλων θεῶν ἔτρεφεν, ἀθάνατον θέλουσα ποιῆσαι· καὶ καταθεῖσα αὐτὸν εἰς κίστην Πανδρόσῳ τῇ Κέκροπος παρακατέθετο, ἀπειποῦσα τὴν κίστην ἀνοίγειν. αἱ δὲ ἀδελφαὶ τῆς Πανδρόσου ἀνοίγουσιν ὑπὸ περιεργίας καὶ θεῶνται τῷ βρέφει παρεσπειραμένον δράκοντα· καὶ ὡς μὲν ἔνιοι λέγουσιν, ὑπ' αὐτοῦ διεφθάρησαν τοῦ δράκοντος, ὡς δὲ ἔνιοι, δι' ὀργὴν Ἀθηνᾶς ἐμμανεῖς γενόμεναι κατὰ τῆς ἀκροπόλεως αὑτὰς ἔρριψαν. (190) ἐν δὲ τῷ τεμένει τραφεὶς Ἐριχθόνιος ὑπ' αὐτῆς Ἀθηνᾶς, ἐκβαλὼν Ἀμφικτύονα ἐβασίλευσεν Ἀθηνῶν καὶ τὸ ἐν ἀκροπόλει ξόανον τῆς Ἀθηνᾶς ἱδρύσατο καὶ τῶν Παναθηναίων τὴν ἑορτὴν συνεστήσατο.

13 SCHOL. DEMOSTH. *19*, 303 Ἄγραυλος καὶ Ἕρση καὶ Πάνδροσος θυγατέρες Κέκροπος, ὥς φησιν ὁ Φιλόχορος. λέγουσι δὲ ὅτι πολέμου συμβάντος παρ' Ἀθηναίοις, ὅτε Εὔμολπος ἐστράτευσε κατὰ Ἐρεχθέως, καὶ μηκυνομένου τούτου ἔχρησεν ὁ Ἀπόλλων ἀπαλλαγήσεσθαι, ἐάν τις ἀνέλῃ ἑαυτὸν ὑπὲρ τῆς πόλεως. ἡ τοίνυν Ἄγραυλος ἑκοῦσα αὑτὴν ἐξέδωκεν εἰς θάνατον· ἔρριψε γὰρ ἑαυτὴν ἐκ τοῦ τείχους. εἶτα ἀπαλλαγέντες τοῦ πολέμου ἱερὸν ὑπὲρ τούτου ἐστήσαντο αὐτῇ παρὰ τὰ προπύλαια τῆς πόλεως, καὶ ἐκεῖσε ὤμνυον οἱ ἔφηβοι μέλλοντες ἐξιέναι εἰς πόλεμον.

14 SVIDAS Κουροτρόφος Γῆ· ταύτῃ δὲ θῦσαί φασι πρῶτον Ἐριχθόνιον ἐν ἀκροπόλει καὶ βωμὸν ἱδρύσασθαι, χάριν ἀποδιδόντα τῇ Γῇ τῶν τροφείων· καταστῆσαι δὲ νόμιμον τοὺς θύοντάς τινι θεῷ ταύτῃ προθύειν.

15 ARISTIDES or. *2* p. 25 C. Ἀθηναίων οἱ πρεσβύτατοι καὶ Ὑγιείας Ἀθηνᾶς βωμὸν ἱδρύσαντο. (cf. ad Paus. *1*, 23, 24.)

16 PAVSANIAS *1*, 23, 7 Ἀρτέμιδος ἱερόν ἐστι Βραυρωνίας, in quo ἕδος ἀρχαῖον fuisse tituli testantur infra ad hunc locum adscripti.

17 CLEMENS ALEX. protr. 3, 45 p. 13 S. Ἀθήνησιν ἐν τῇ ἀκροπόλει (τάφος ἐστὶ) Κέκροπος, ὥς φησιν Ἀντίοχος ἐν τῷ ἐνάτῳ τῶν ἱστοριῶν. (alii de fano [ἱερῷ] Cecropis loquuntur, cf. ad Paus. *1*, *27*, 12.)

18 EVRIPIDES Ion. 281 Ἴων· πατέρα δ' (Erechtheum) ἀληθῶς χάσμα σὸν κρύπτει χθονός; Κρέουσα· πληγαὶ τριαίνης ποντίου σφ' ἀπώλεσαν. Ἴων. Μακραὶ δὲ χῶρός ἐστ' ἐκεῖ κεκλημένος;

19 APOLLODORVS *3*, 191 (14, *7*) Ἐριχθονίου ἀποθανόντος καὶ ταφέντος ἐν τῷ αὐτῷ τεμένει τῆς Ἀθηνᾶς . . .

PELARGICA ARCIS MOENIA ET PROPVGNACVLVM ENNEAPYLVM

20 HERODOTVS *6*, 137 Ἑκαταῖος ὁ Ἡγησάνδρου ἔφησε ἐν τοῖσι λόγοισι (Πελασγοὺς ἐκ τῆς Ἀττικῆς ὑπὸ Ἀθηναίων ἐκβληθῆναι) λέγων ἀδίκως· ἐπείτε γὰρ ἰδεῖν τοὺς Ἀθηναίους τὴν χώρην, τὴν σφίσι αὐτοῖσι ὑπὸ τὸν Ὑμησσὸν ἐοῦσαν ἔδοσαν οἰκῆσαι, μισθὸν τοῦ τείχεος τοῦ περὶ τὴν ἀκρόπολίν κοτε ἐληλαμένου κ. τ. λ.

21 DIONYSIVS HALICARN. antiq. *1*, 28 Μυρσίλος τὰ ἔμπαλιν ἀποφαινόμενος Ἑλλανίκῳ τοὺς Τυρρηνούς φησιν, ἐπειδὴ τὴν ἑαυτῶν ἐξέλιπον, ἐν τῇ πλάνῃ μετονομασθῆναι Πελαργούς, τῶν ὀρνέων τοῖς καλουμένοις πελαργοῖς εἰκασθέντας, ὡς κατὰ ἀγέλας ἐφοίτων εἴς τε τὴν Ἑλλάδα

καὶ τὴν βάρβαρον· καὶ τοῖς Ἀθηναίοις τὸ τεῖχος τὸ περὶ τὴν ἀκρόπολιν, τὸ Πελαργικὸν καλούμενον, τούτους περιβαλεῖν.

22 PAVSANIAS *1*, 28, 3 τῇ ἀκροπόλει, πλὴν ὅσον Κίμων ᾠκοδόμησεν αὐτῆς ὁ Μιλτιάδου, περιβαλεῖν τὸ λοιπὸν λέγεται τοῦ τείχους Πελασγοὺς οἰκήσαντάς ποτε ὑπὸ τὴν ἀκρόπολιν.

23 BEKKERI ANECDOTA p. 419, 28 Κλείδημος· καὶ ἠπέδιζον τὴν ἀκρόπολιν, περιέβαλλον δὲ ἐννεάπυλον τὸ Πελαργικόν. (POLEMO apud schol. Soph. OC. 489 τὸ Κυλώνειον ἐκτὸς τῶν ἐννέα πυλῶν. THVCYDIDES *2*, 17 τὸ Πελαργικὸν καλούμενον τὸ ὑπὸ τὴν ἀκρόπολιν. STRABO *9* p. 401 τοὺς Πελασγοὺς . . ., ἀφ' ὧν ἐκλήθη μέρος τι τῆς πόλεως Πελασγικόν.)

CYLONIS TVMVLTVS

24 HERODOTVS *5*, 71 ἦν Κύλων τῶν Ἀθηναίων ἀνὴρ Ὀλυμπιονίκης. οὗτος ἐπὶ τυραννίδι 640
ἐκόμησε, προσποιησάμενος δὲ ἑταιρηίην τῶν ἡλικιωτέων καταλαβεῖν τὴν ἀκρόπολιν ἐπειρήθη, οὐ δυνάμενος δὲ ἐπικρατῆσαι ἱκέτης ἵζετο πρὸς τὸ ἄγαλμα. τούτους ἀνίστασι μὲν οἱ πρυτάνιες τῶν ναυκράρων, οἵ περ ἔνεμον τότε τὰς Ἀθήνας, ὑπεγγύους πλὴν θανάτου· φονεῦσαι δὲ αὐτοὺς αἰτίη ἔχει Ἀλκμεωνίδας.

25 THVCYDIDES *1*, 126 Κύλων ἦν Ὀλυμπιονίκης ἀνὴρ Ἀθηναῖος τῶν πάλαι εὐγενής τε καὶ δυνατός· ἐγεγαμήκει δὲ θυγατέρα Θεαγένους Μεγαρέως ἀνδρός, ὃς κατ' ἐκεῖνον τὸν χρόνον ἐτυράννει Μεγάρων. χρωμένῳ δὲ τῷ Κύλωνι ἐν Δελφοῖς ἀνεῖλεν ὁ θεὸς ἐν τῇ τοῦ Διὸς τῇ μεγίστῃ ἑορτῇ καταλαβεῖν τὴν Ἀθηναίων ἀκρόπολιν. ὁ δὲ παρά τε τοῦ Θεαγένους δύναμιν λαβὼν καὶ τοὺς φίλους ἀναπείσας, ἐπειδὴ ἐπῆλθον Ὀλύμπια τὰ ἐν Πελοποννήσῳ, κατέλαβε τὴν ἀκρόπολιν ὡς ἐπὶ τυραννίδι, νομίσας ἑορτήν τε τοῦ Διὸς μεγίστην εἶναι καὶ ἑαυτῷ τι προσήκειν Ὀλύμπια νενικηκότι. εἰ δὲ ἐν τῇ Ἀττικῇ ἢ ἄλλοθί που ἡ μεγίστη ἑορτὴ εἴρητο, οὔτε ἐκεῖνος ἔτι κατενόησε τό τε μαντεῖον οὐκ ἐδήλου (ἔστι γὰρ καὶ Ἀθηναίοις Διάσια, ἃ καλεῖται Διὸς ἑορτὴ Μιλιχίου μεγίστη, ἔξω τῆς πόλεως, ἐν ᾗ πανδημεὶ θύουσι, πολλοὶ οὐχ ἱερεῖα, ἀλλὰ θύματα ἐπιχώρια)· δοκῶν δὲ ὀρθῶς γιγνώσκειν ἐπεχείρησε τῷ ἔργῳ. οἱ δ' Ἀθηναῖοι αἰσθόμενοι ἐβοήθησάν τε πανδημεὶ ἐκ τῶν ἀγρῶν ἐπ' αὐτοὺς καὶ προσκαθεζόμενοι ἐπολιόρκουν. χρόνου δὲ ἐπιγιγνομένου οἱ Ἀθηναῖοι τρυχόμενοι τῇ προσεδρείᾳ ἀπῆλθον οἱ πολλοί, ἐπιτρέψαντες τοῖς ἐννέα ἄρχουσι τὴν φυλακὴν καὶ τὸ πᾶν αὐτοκράτορσι διαθεῖναι ᾗ ἂν ἄριστα διαγιγνώσκωσι· τότε δὲ τὰ πολλὰ τῶν πολιτικῶν οἱ ἐννέα ἄρχοντες ἔπρασσον. οἱ δὲ μετὰ τοῦ Κύλωνος πολιορκούμενοι φλαύρως εἶχον σίτου τε καὶ ὕδατος ἀπορίᾳ. ὁ μὲν οὖν Κύλων καὶ ὁ ἀδελφὸς αὐτοῦ ἐκδιδράσκουσιν· οἱ δ' ἄλλοι, ὡς ἐπιέζοντο καί τινες καὶ ἀπέθνῃσκον ὑπὸ τοῦ λιμοῦ, καθίζουσιν ἐπὶ τὸν βωμὸν ἱκέται τὸν ἐν τῇ ἀκροπόλει. ἀναστήσαντες δὲ αὐτοὺς οἱ τῶν Ἀθηναίων ἐπιτετραμμένοι τὴν φυλακήν, ὡς ἑώρων ἀποθνῄσκοντας ἐν τῷ ἱερῷ, ἐφ' ᾧ μηδὲν κακὸν ποιήσουσιν ἀπαγαγόντες, ἀπέκτειναν· καθεζομένους δέ τινας καὶ ἐπὶ τῶν Σεμνῶν θεῶν ἐν τοῖς βωμοῖς ἐν τῇ παρόδῳ διεχρήσαντο. (POLEMO ap. schol. Soph. OC. 489 τὸ Κυλώνειον ἐκτὸς τῶν ἐννέα πυλῶν.)

26 HERACLIDES de re publ. Athen. 4 (ex ARISTOTELE) τοὺς μετὰ Κύλωνος διὰ τὴν τυραννίδα ἐπὶ τὸν βωμὸν τῆς θεοῦ πεφευγότας οἱ περὶ Μεγακλέα ἀπέκτειναν.

27 PLVTARCHVS Sol. 12 τὸ Κυλώνειον ἄγος ἤδη μὲν ἐκ πολλοῦ διετάραττε τὴν πόλιν, ἐξ οὗ τοὺς συνωμότας τοῦ Κύλωνος ἱκετεύοντας τὴν θεὸν Μεγακλῆς ὁ ἄρχων ἐπὶ δίκῃ κατελθεῖν ἔπεισεν· ἐξάψαντας δὲ τοῦ ἕδους κρόκην κλωστὴν καὶ ταύτης ἐχομένους, ὡς ἐγένοντο περὶ τὰς Σεμνὰς θεὰς καταβαίνοντες, αὐτομάτως τῆς κρόκης ῥαγείσης ὥρμησε συλλαμβάνειν ὁ Μεγακλῆς καὶ οἱ συνάρχοντες ὡς τῆς θεοῦ τὴν ἱκεσίαν ἀπολεγομένης καὶ τοὺς μὲν ἔξω κατέλευσαν, οἱ δὲ τοῖς βωμοῖς προσφυγόντες ἀπεσφάγησαν, μόνοι δ' ἀφείθησαν οἱ τὰς γυναῖκας αὐτῶν ἱκετεύσαντες.

PISISTRATVS EIVSQVE FILII

28 SCHOL. ARISTID. Panath. p. 189, 4 (III, 323 Ddf.) e cod. Parisino emendatum (ex ARISTOTELE?) τῶν Παναθηναίων λέγει τῶν μικρῶν· ταῦτα γὰρ ἀρχαιότερα, ἐπὶ Ἐριχθονίου τοῦ Ἀμφικτύονος γενόμενα ἐπὶ τῷ φόνῳ Ἀστερίου τοῦ Γίγαντος· τὰ γὰρ μεγάλα Πεισίστρατος ἐποίησεν. (EVSEBIVS ad Ol. 53, 3 ὁ τῶν Παναθηναίων γυμνικὸς ἀγὼν ἤχθη.) 566

29 HERODOTVS *1*, 59 ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἐξαπατηθεὶς ἔδωκέ οἱ ⟨Pisistrato⟩ τῶν ἀστῶν καταλέξας ἄνδρας τριηκοσίους ⟨Naber: τούτους libri⟩, οἳ δορυφόροι μὲν οὐκ ἐγένοντο Πεισιστράτου, κορυνηφόροι δέ· ξύλων γὰρ κορύνας ἔχοντες εἵποντό οἱ ὄπισθε. συνεπαναστάντες δὲ οὗτοι ἅμα Πεισιστράτῳ ἔσχον τὴν ἀκρόπολιν. ἔνθα δὴ ὁ Πεισίστρατος ἦρχε Ἀθηναίων κ. τ. λ. ‖ ARISTOTELES de re publ. Athen. 14 δημοτικώτατος εἶναι δοκῶν ὁ Πεισίστρατος καὶ σφόδρ' εὐδοκιμηκὼς ἐν τῷ πρὸς Μεγαρέας πολέμῳ, κατατραυματίσας ἑαυτὸν συνέπεισε τὸν δῆμον, ὡς ὑπὸ τῶν ἀντιστασιωτῶν ταῦτα πεπονθώς, φυλακὴν ἑαυτῷ δοῦναι τοῦ σώματος, Ἀριστίωνος γράψαντος τὴν γνώμην. λαβὼν δὲ τοὺς κορυνηφόρους καλουμένους, ἐπαναστὰς μετὰ τούτων τῷ δήμῳ κατέσχε τὴν ἀκρόπολιν ἔτει δευτέρῳ καὶ τριακοστῷ μετὰ τὴν τῶν νόμων θέσιν, ἐπὶ Κωμέου 561/60 ἄρχοντος.

30 ARISTOTELES ibid. 15 παρείλετο (Pisistratus tertium tyrannide potitus) τοῦ δήμου τὰ ὅπλα c. 541 τόνδε τὸν τρόπον. ἐξοπλασίαν ἐν τῷ Θησείῳ ποιησάμενος ἐκκλησιάζειν ἐπεχείρει, ... δ' ἔστεγεν μικρόν· οὐ φασκόντων δὲ διακούειν ἐκέλευσεν αὐτοὺς προσαναβῆναι πρὸς τὸ πρόπυλον τῆς ἀκροπόλεως, ἵνα γεγωνῇ μᾶλλον. ἐν ᾧ δ' ἐκεῖνος διέτριβε δημηγορῶν, ἀνελόντες οἱ ἐπὶ τοῦτο τεταγμένοι τ[ὰ ὅπλ]α καὶ παρακλῄσαντες εἰς τὰ πλησίον οἰκήματα τοῦ Θησείου διεσήμηναν ἐλθόντες πρὸς τὸν Πεισίστρατον· ὃ δὲ ἐπεὶ τὸν ἄλλον λόγον ἐπετέλεσεν, εἶπε καὶ περὶ τῶν ὅπλων τὸ γεγονὸς ὡς οὐ χρὴ θαυμάζειν οὐδ' ἀθυμεῖν, ἀλλ' ἀπελθόντας ἐπὶ τῶν ἰδίων εἶναι, τῶν δὲ κοινῶν αὐτὸς ἐπιμελήσεσθαι πάντων.

31 POLYAENVS *1*, 21, *2* Πεισίστρατος Ἀθηναίων τὰ ὅπλα βουλόμενος παρελέσθαι παρήγγειλεν ἥκειν ἅπαντας εἰς τὸ Ἀνάκειον μετὰ τῶν ὅπλων. οἳ μὲν ἧκον, ὃ δὲ προῆλθε βουλόμενος δημηγορῆσαι καὶ σμικρᾷ τῇ φωνῇ λέγειν ἤρχετο. οἳ δὲ ἐξακούειν μὴ δυνάμενοι προελθεῖν αὐτὸν ἠξίωσαν εἰς τὸ Προπύλαιον, ἵνα πάντες ἐπακούσειαν. ἐπεὶ δὲ ὃ μὲν ἡσυχῇ διελέγετο, οἳ δ' ἐντείναντες τὰς ἀκοὰς προσεῖχον, οἱ ἐπίκουροι προελθόντες ἀράμενοι τὰ ὅπλα κατήνεγκαν εἰς τὸ ἱερὸν τῆς Ἀγραύλου. Ἀθηναῖοι δὲ γυμνοὶ καταλειφθέντες τότε ᾔσθοντο τῆς Πεισιστράτου βραχυφωνίας ὅτι ἄρα ἦν τέχνασμα κατὰ τῶν ὅπλων.

32 HESYCHIVS καταχήνη· ... ὑπὸ Πεισιστράτου καλαμαίᾳ ἐμφερὲς ζῷον ἀπὸ τῆς ἀκροπόλεως προβεβλημένον, ὁποῖα τὰ πρὸς βασκανίαν.

33 HOMERVS B 546 cf. supra n. 10.

34 [ARISTOTELES] Oeconom. *2*, 2, 4 p. 1347^a τῇ τε ἱερείᾳ τῇ τῆς Ἀθηνᾶς τῆς ἐν ἀκροπόλει (Hippias iussit) ὑπὲρ τοῦ ἀποθανόντος φέρειν χοίνικα κριθῶν καὶ πυρῶν ἑτέραν καὶ ὀβολόν, καὶ ὅτῳ ἂν παιδάριον γένηται, τὸ αὐτὸ τοῦτο.

35 ARISTOTELES de re publ. Athen. 18 ἤδη παρατηροῦντες (Harmodius et Aristogiton) ἐν ἀκροπόλει τοῖς Παναθηναίοις Ἱππίαν (ἐτύγχανεν γὰρ οὗτος μὲν [δ]εχόμενος, ὁ δ' Ἵππαρχος ἀποστέλλων τὴν πομπήν), ἰδόντες τινὰ τῶν κοινωνούντων τῆς πράξεως φιλανθρώπως ἐντυγχάνοντα τῷ Ἱππίᾳ καὶ νομίσαντες μηνύειν, βουλόμενοί τι δρᾶσαι πρὸ τῆς συλλήψεως, καταβάντες καὶ προεξαναστάντες τῶν [ἑτέ]ρων τὸν μὲν Ἵππαρχον διακοσμοῦντα τὴν πομπὴν παρὰ τὸ Λεωκόρειον ἀπέκτειναν, τὴν δ' ὅλην ἐλυμήναντο πρᾶξιν. 514

36 HERODOTVS *5*, 64 Κλεομένης (rex Lacedaemoniorum) ἀπικόμενος ἐς τὸ ἄστυ ἅμα 510 Ἀθηναίων τοῖσι βουλομένοισι εἶναι ἐλευθέροισι ἐπολιόρκεε τοὺς τυράννους ἀπεργμένους ἐν τῷ

Πελασγικῷ τείχεϊ. (65) καὶ οὐδέν τι πάντως ἂν ἐξεῖλον τοὺς Πεισιστρατίδας οἱ Λακεδαιμόνιοι· οὔτε γὰρ ἐπέδρην ἐπενόεον ποιήσασθαι, οἵ τε Πεισιστρατίδαι σίτοισι καὶ ποτοῖσι εὖ παρεσκευάδατο· πολιορκήσαντές τε ἂν ἡμέρας ὀλίγας ἀπαλλάσσοντο ἐς τὴν Σπάρτην. νῦν δὲ συντυχίη τοῖσι μὲν κακὴ ἐπεγένετο, τοῖσι δὲ ἡ αὐτὴ αὕτη σύμμαχος· ὑπεκτιθέμενοι γὰρ ἔξω τῆς χώρης οἱ παῖδες τῶν Πεισιστρατιδέων ἥλωσαν. τοῦτο δὲ ὡς ἐγένετο, πάντα αὐτῶν τὰ πρήγματα συνετετάρακτο, παρέστησαν δὲ ἐπὶ μισθῷ τοῖσι τέκνοισι, ἐπ' οἷσι ἐβούλοντο οἱ Ἀθηναῖοι, ὥστε ἐν πέντε ἡμέρῃσι ἐκχωρῆσαι ἐκ τῆς Ἀττικῆς. μετὰ δὲ ἐξεχώρησαν ἐς Σίγειον τὸ ἐπὶ τῷ Σκαμάνδρῳ.

37 ARISTOTELES de re publ. Athen. 19 κατακλήσας (Cleomenes) τὸν Ἱππίαν εἰς τὸ καλούμενον Πελαργικὸν τεῖχος ἐπολίορκει μετὰ τῶν Ἀθηναίων. προσκαθημένου δ' αὐτοῦ συνέπεσεν ὑπεξιόντας ἁλῶναι τοὺς τῶν Πεισιστρατιδῶν υἱεῖς. ὧν ληφθέντων ὁμολογίαν ἐπὶ τῇ τῶν παίδων σωτηρίᾳ ποιησάμενοι καὶ τὰ ἑαυτῶν ἐν πένθ' ἡμέραις ἐκκομισάμενοι παρέδωκαν τὴν ἀκρόπολιν τοῖς Ἀθηναίοις ἐπὶ Ἁρπακτίδου ἄρχοντος. 511/10

38 THVCYDIDES *6*, 55 ὅτι πρεσβύτατος ὢν Ἱππίας ἦρξεν, εἰδὼς μὲν καὶ ἀκοῇ ἀκριβέστερον ἄλλων ἰσχυρίζομαι, γνοίη δ' ἄν τις καὶ αὐτῷ τούτῳ· παῖδες γὰρ αὐτῷ μόνῳ φαίνονται τῶν γνησίων ἀδελφῶν γενόμενοι, ὡς ὅ τε βωμὸς σημαίνει καὶ ἡ στήλη ἡ περὶ τῆς τῶν τυράννων ἀδικίας (ἀτιμίας Herwerden), ἡ ἐν τῇ Ἀθηναίων ἀκροπόλει σταθεῖσα, ἐν ᾗ Θεσσαλοῦ μὲν οὐδ' Ἱππάρχου οὐδεὶς παῖς γέγραπται, Ἱππίου δὲ πέντε, οἳ αὐτῷ ἐκ Μυρρίνης τῆς Καλλίου τοῦ Ὑπερεχίδου θυγατρὸς ἐγένοντο· εἰκὸς γὰρ ἦν τὸν πρεσβύτατον πρῶτον γῆμαι. καὶ ἐν τῇ αὐτῇ στήλῃ πρῶτος γέγραπται μετὰ τὸν πατέρα, οὐδὲ τοῦτο ἀπεικότως διὰ τὸ πρεσβεύειν τε ἀπ' αὐτοῦ καὶ τυραννεῦσαι.

ATHENIENSIVM LIBERAE REI PVBLICAE INITIA

39 PLVTARCHVS de garrul. 8 p. 505 E Λέαινα .. ἑταίρα τῶν περὶ Ἁρμόδιον ἦν καὶ Ἀριστογείτονα καὶ τῆς ἐπὶ τοὺς τυράννους συνωμοσίας ἐκοινώνει ταῖς ἐλπίσιν ὡς γυνή . . . ὡς οὖν ἐκεῖνοι πταίσαντες ἀνῃρέθησαν, ἀνακρινομένη καὶ κελευομένη φράσαι τοὺς ἔτι λανθάνοντας οὐκ ἔφρασεν ἀλλ' ἐνεκαρτέρησεν . . . Ἀθηναῖοι δὲ χαλκῆν ποιησάμενοι λέαιναν ἄγλωσσον ἐν πύλαις τῆς ἀκροπόλεως ἀνέθηκαν. (cf. ad Paus. *1*, *23*, 8*.)

40 HERODOTVS *5*, *72* μετὰ οὐδὲν ἧσσον παρῆν ἐς τὰς Ἀθήνας ὁ Κλεομένης οὐ σὺν 507? μεγάλῃ χειρί, ἀπικόμενος δὲ ἀγηλατέει ἑπτακόσια ἐπίστια Ἀθηναίων, τά οἱ ὑπέθετο ὁ Ἰσαγόρης. ταῦτα δὲ ποιήσας δεύτερα τὴν βουλὴν καταλύειν ἐπειρᾶτο, τριηκοσίοισι δὲ τοῖσι Ἰσαγόρεω στασιώτῃσι τὰς ἀρχὰς ἐνεχείριζε. ἀντισταθείσης δὲ τῆς βουλῆς καὶ οὐ βουλομένης πείθεσθαι ὅ τε Κλεομένης καὶ ὁ Ἰσαγόρης καὶ οἱ στασιῶται αὐτοῦ καταλαμβάνουσι τὴν ἀκρόπολιν. Ἀθηναίων δὲ οἱ λοιποὶ τὰ αὐτὰ φρονήσαντες ἐπολιόρκεον αὐτοὺς ἡμέρας δύο· τῇ δὲ τρίτῃ ὑπόσπονδοι ἐξέρχονται ἐκ τῆς χώρης ὅσοι ἦσαν αὐτῶν Λακεδαιμόνιοι. ἐπετελέετο δὲ τῷ Κλεομένεϊ ἡ φήμη· ὡς γὰρ ἀνέβη ἐς τὴν ἀκρόπολιν μέλλων δὴ αὐτὴν κατασχήσειν, ἤιε ἐς τὸ ἄδυτον τῆς θεοῦ ὡς προσερέων, ἡ δὲ ἱρείη ἐξαναστᾶσα ἐκ τοῦ θρόνου, πρὶν ἢ τὰς θύρας αὐτὸν ἀμεῖψαι, εἶπε "ὦ ξεῖνε Λακεδαιμόνιε, πάλιν χώρει μηδὲ ἔσιθι ἐς τὸ ἱρόν· οὐ γὰρ θεμιτὸν Δωριεῦσι παριέναι ἐνθαῦτα". ὁ δὲ εἶπε "ὦ γύναι, ἀλλ' οὐ Δωριεύς εἰμι ἀλλ' Ἀχαιός". ὃ μὲν δὴ τῇ κληηδόνι οὐδὲν χρεώμενος ἐπεχείρησέ τε καὶ τότε πάλιν ἐξέπιπτε μετὰ τῶν Λακεδαιμονίων, τοὺς δὲ ἄλλους Ἀθηναῖοι κατέδησαν τὴν ἐπὶ θανάτῳ. . . . . (90) ἔτι τε πρὸς τούτοισι ἐνῆγόν σφεας (Lacedaemonios) οἱ χρησμοὶ λέγοντες πολλά τε καὶ ἀνάρσια ἔσεσθαι αὐτοῖσι ἐξ Ἀθηναίων, τῶν πρότερον μὲν ἦσαν ἀδαέες, τότε δὲ Κλεομένεος κομίσαντος ἐς Σπάρτην ἐξέμαθον. ἐκτήσατο δὲ ὁ Κλεομένης ἐκ τῆς Ἀθηναίων ἀκροπόλιος τοὺς χρησμούς, τοὺς ἔκτηντο μὲν πρότερον οἱ Πεισιστρατίδαι, ἐξελαυνόμενοι δὲ ἔλιπον ἐν τῷ ἱρῷ, καταλειφθέντας δὲ ὁ Κλεομένης ἀνέλαβε.

41 ARISTOTELES de re publ. Athen. 20 . . . τῆς βουλῆς ἀντιστάσης καὶ συναθροισθέντος τοῦ πλήθους οἱ μὲν περὶ τὸν Κλεομένην καὶ Ἰσαγόραν κατέφυγον εἰς τὴν ἀκρόπολιν, ὁ δὲ δῆμος δύο μὲν ἡμέρας προσκαθεζόμενος ἐπολιόρκει, τῇ δὲ τρίτῃ Κλεομένην μὲν καὶ τοὺς μετ' αὐτοῦ πάντας ἀφεῖσαν ὑποσπόνδους, Κλεισθένην δὲ καὶ τοὺς ἄλλους φυγάδας μετεπέμψαντο.

42 SCHOL. ARISTOPH. Lys. 273 τῶν μετὰ Κλεομένους Ἐλευσῖνα κατασχόντων Ἀθηναῖοι τὰς οἰκίας κατέσκαψαν καὶ τὰς οὐσίας ἐδήμευσαν, αὐτῶν δὲ θάνατον ἐψηφίσαντο. καὶ ἀναγράψαντες ἐς στήλην χαλκῆν ἔστησαν ἐν πόλει παρὰ τὸν ἀρχαῖον νεών. 506

43 HERODOTVS *5, 77* οἱ ἱπποβόται ἐκαλέοντο οἱ παχέες τῶν Χαλκιδέων. ὅσους δὲ καὶ 506 τούτων ἐζώγρησαν (in pugna ad Euripum commissa), ἅμα τοῖσι Βοιωτῶν ἐζωγρημένοισι εἶχον ἐν φυλακῇ [ἐς πέδας] δήσαντες· χρόνῳ δὲ ἔλυσάν σφεας δίμνεως ἀποτιμησάμενοι. τὰς δὲ πέδας αὐτῶν, ἐν τῇσι ἐδεδέατο, ἀνεκρέμασαν ἐς τὴν ἀκρόπολιν· αἵ περ ἔτι καὶ ἐς ἐμὲ ἦσαν περιεοῦσαι, κρεμάμεναι ἐκ τειχέων περιπεφλευσμένων πυρὶ ὑπὸ τοῦ Μήδου, ἀντίον δὲ τοῦ μεγάρου τοῦ πρὸς ἑσπέρην τετραμμένου. καὶ τῶν λύτρων τὴν δεκάτην ἀνέθηκαν ποιησάμενοι τέθριππον χάλκεον· τὸ δὲ ἀριστερῆς χειρὸς ἕστηκε πρῶτα ἐσίοντι ἐς τὰ προπύλαια τὰ ἐν τῇ ἀκροπόλι· ἐπιγέγραπται δέ οἱ τάδε·

ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων δαμάσαντες
  παῖδες Ἀθηναίων ἔργμασιν ἐν πολέμου
δεσμῷ ἐν ἀχλυόεντι σιδηρέῳ ἔσβεσαν ὕβριν·
  τῶν ἵππους δεκάτην Παλλάδι τάσδ' ἔθεσαν.

(uersus ab initio ita dispositos fuisse, ut hexametri locum inter se commutarent, fragmentum docuit ad Paus. *1*, 28, 9 adlatum.)

44 ARISTOTELES de re publ. Athen. *7* . . . τὰ ἀναθήματα τῶν ἀρχαίων· ἀνάκειται γὰρ ἐν ἀκροπόλει εἰκὼν Διφίλου (Διφ. del. Wilamowitz et Kaibel), ἐφ' ᾗ ἐπιγέγραπται τάδε·

Διφίλου Ἀνθεμίων τήνδ' ἀνέθηκε θεοῖς
θητικοῦ ἀντὶ τέλους ἱππάδ' ἀμειψάμενος (ἀμειψαμένου? Michaelis).

καὶ παρέστηκεν ἵππος ἐκμαρτυρῶν (ἐκμ. del. eidem) ὡς τὴν ἱππάδα τοῦτο σημαίνουσαν. || POLLVX *8*, 130 εἰκών ἐστιν ἐν ἀκροπόλει ἵππος ἀνδρὶ παρεστηκώς, καὶ τὸ ἐπίγραμμα·

Διφίλου Ἀνθεμίων τόνδ' ἵππον θεοῖς ἀνέθηκεν
θητικοῦ ἀντὶ τέλους ἱππάδ' ἀμειψάμενος.

BELLA PERSICA

45 PAVSANIAS *1*, 28, 2 δύο Ἀθηναίοις εἰσὶ δεκάται πολεμήσασιν, ἄγαλμα Ἀθηνᾶς χαλκοῦν ἀπὸ Μήδων τῶν ἐς Μαραθῶνα ἀποβάντων, τέχνη Φειδίου κτλ. (cf. alios locos ad hunc 490 locum adscriptos et infra n. 65).

46 HERODOTVS *6*, 105 τῷ δὴ (Φειδιππίδεϊ), ὡς αὐτός τε ἔλεγε Φειδιππίδης ⟨Φιλιππίδης 490 Romanus⟩ καὶ Ἀθηναίοισι ἀπήγγελλε, περὶ τὸ Παρθένιον ὄρος τὸ ὑπὲρ Τεγέης ὁ Πὰν περιπίπτει. βώσαντα δὲ τὸ οὔνομα τοῦ Φειδιππίδεω ⟨Φιλ. Romanus⟩ τὸν Πᾶνα Ἀθηναίοισι κελεῦσαι ἀπαγγεῖλαι, δι' ὅτι ἑωυτοῦ οὐδεμίαν ἐπιμελείην ποιεῦνται ἐόντος εὔνου Ἀθηναίοισι καὶ πολλαχῇ γενομένου σφι ἤδη χρησίμου, τὰ δ' ἔτι καὶ ἐσομένου. καὶ ταῦτα μὲν Ἀθηναῖοι, καταστάντων σφι εὖ ἤδη τῶν πρηγμάτων, πιστεύσαντες εἶναι ἀληθέα ἱδρύσαντο ὑπὸ τῇ ἀκροπόλι Πανὸς ἱρὸν καὶ αὐτὸν ἀπὸ ταύτης τῆς ἀγγελίης θυσίῃσι ἐπετείοισι καὶ λαμπάδι ἱλάσκονται.

47 LVCIANVS bis accus. 9 οὗτος (Pan) ᾤκει μὲν τὸ πρόσθεν ἀνὰ τὸ Παρθένιον, ὑπὸ δὲ τὸν Δάτιδος ἐπίπλουν καὶ τὴν Μαραθωνάδε τῶν βαρβάρων ἀπόβασιν ἧκεν ἄκλητος τοῖς Ἀθη-

ναίοις ξύμμαχος, καὶ τὸ ἀπ' ἐκείνου τὸ ὑπὸ τῇ ἀκροπόλει σπήλαιον τοῦτο ἀπολαβόμενος οἰκεῖ μικρὸν ὑπὲρ τοῦ Πελασγικοῦ ἐς τὸ μετοίκιον ξυντελῶν. (cf. PAVS. *1*, 28, 4.)

48 [SIMONIDES] anthol. Palat. app. Plan. 232

τὸν τραγόπουν ἐμὲ Πᾶνα τὸν Ἀρκάδα, τὸν κατὰ Μήδων,
τὸν μετ' Ἀθηναίων στήσατο Μιλτιάδης.

49 Populiscitum de rebus aediliciis ad arcem pertinentibus u. AE 20. 485/4

50 Complura templa ante a. 480 in arce fuisse simarum marmorearum in ruderibus Persicis quae uocantur repertarum uarietas probat.

51 HERODOTVS *8*, 41 λέγουσι Ἀθηναῖοι ὄφιν μέγαν φύλακα τῆς ἀκροπόλιος ἐνδιαιτᾶσθαι 480
ἐν τῷ ἱρῷ. λέγουσί τε ταῦτα καὶ δὴ καὶ ὡς ἐόντι ἐπιμήνια ἐπιτελέουσι προτιθέντες· τὰ δ' ἐπιμήνια [ἐστι] μελιτόεσσα. αὕτη δ' ἡ μελιτόεσσα ἐν τῷ πρόσθεν αἰεὶ χρόνῳ ἀναισιμουμένη τότε ἦν ἄψαυστος. σημηνάσης δὲ ταῦτα τῆς ἱρείης μᾶλλόν τι οἱ Ἀθηναῖοι καὶ προθυμότερον ἐξέλιπον τὴν πόλιν ὡς καὶ τῆς θεοῦ ἀπολελοιπυίης τὴν ἀκρόπολιν.

52 PLVTARCHVS Themist. 10 Θεμιστοκλῆς ἀπορῶν τοῖς ἀνθρωπίνοις λογισμοῖς προσάγεσθαι τὸ πλῆθος, ὥσπερ ἐν τραγῳδίᾳ μηχανὴν ἄρας σημεῖα δαιμόνια καὶ χρησμοὺς ἐπῆγεν αὐτοῖς, σημεῖον μὲν λαμβάνων τὸ τοῦ δράκοντος, ὃς ἀφανὴς ταῖς ἡμέραις ἐκείναις ἐκ τοῦ σηκοῦ δοκεῖ γενέσθαι· καὶ τὰς καθ' ἡμέραν αὐτῷ προτιθεμένας ἀπαρχὰς εὑρίσκοντες ἀψαύστους οἱ ἱερεῖς ἐξήγγελλον εἰς τοὺς πολλούς, τοῦ Θεμιστοκλέους λόγον διδόντος, ὡς ἀπολέλοιπε τὴν πόλιν ἡ θεὸς ὑφηγουμένη πρὸς τὴν θάλατταν αὐτοῖς. τῷ δὲ χρησμῷ πάλιν ἐδημαγώγει λέγων μηδὲν ἄλλο δηλοῦσθαι ξύλινον τεῖχος ἢ τὰς ναῦς . . . κρατήσας δὲ τῇ γνώμῃ ψήφισμα γράφει τὴν μὲν πόλιν καταθέσθαι τῇ Ἀθηνᾷ τῇ Ἀθηνέων μεδεούσῃ, τοὺς δ' ἐν ἡλικίᾳ πάντας ἐμβαίνειν εἰς τὰς τριήρεις, παῖδας δὲ καὶ γυναῖκας καὶ ἀνδράποδα σῴζειν ἕκαστον ὡς δυνατόν . . . . καταβαινόντων γὰρ εἰς Πειραιᾶ τῶν Ἀθηναίων ⟨Κλείδημος⟩ φησὶν ἀπολέσθαι τὸ γοργόνειον ἀπὸ τῆς θεοῦ τοῦ ἀγάλματος· τὸν οὖν Θεμιστοκλέα προσποιούμενον ζητεῖν καὶ διερευνώμενον ἅπαντα χρημάτων ἀνευρίσκειν πλῆθος ἐν ταῖς ἀποσκευαῖς κεκρυμμένον κτλ.

53 IDEM Cim. 5 ὅτε τὸν δῆμον ἐπιόντων Μήδων Θεμιστοκλῆς ἔπειθε προέμενον τὴν πόλιν καὶ τὴν χώραν ἐκλιπόντα πρὸ τῆς Σαλαμῖνος ἐν ταῖς ναυσὶ τὰ ὅπλα θέσθαι καὶ διαγωνίσασθαι κατὰ τὴν θάλασσαν, ἐκπεπληγμένων τῶν πολλῶν τὸ τόλμημα πρῶτος Κίμων ὤφθη διὰ τοῦ Κεραμεικοῦ φαιδρὸς ἀνιὼν εἰς τὴν ἀκρόπολιν μετὰ τῶν ἑταίρων ἵππου τινὰ χαλινὸν ἀναθεῖναι τῇ θεῷ διὰ χειρῶν κομίζων, ὡς οὐδὲν ἱππικῆς ἀλκῆς ἀλλὰ ναυμάχων ἀνδρῶν ἐν τῷ παρόντι τῆς πόλεως δεομένης. ἀναθεὶς δὲ τὸν χαλινὸν καὶ λαβὼν ἐκ τῶν περὶ τὸν ναὸν κρεμαμένων ἀσπίδων καὶ προσευξάμενος τῇ θεῷ κατέβαινεν ἐπὶ θάλασσαν, οὐκ ὀλίγοις ἀρχὴ τοῦ θαρρεῖν γενόμενος.

54 HERODOTVS *8*, 51 αἱρέουσι (Persae) ἔρημον τὸ ἄστυ καί τινας ὀλίγους εὑρίσκουσι τῶν Ἀθηναίων ἐν τῷ ἱρῷ ἐόντας, ταμίας τε τοῦ ἱροῦ καὶ πένητας ἀνθρώπους, οἳ φραξάμενοι τὴν ἀκρόπολιν θύρῃσι τε καὶ ξύλοισι ἠμύνοντο τοὺς ἐπιόντας, ἅμα μὲν ὑπ' ἀσθενείης βίου οὐκ ἐκχωρήσαντες ἐς Σαλαμῖνα, πρὸς δὲ αὐτοὶ δοκέοντες ἐξευρηκέναι τὸ μαντήιον, τὸ ἡ Πυθίη σφι ἔχρησε, τὸ ξύλινον τεῖχος ἀνάλωτον ἔσεσθαι· αὐτὸ δὴ τοῦτο εἶναι τὸ κρησφύγετον κατὰ τὸ μαντήιον, καὶ οὐ τὰς νέας. (52) οἱ δὲ Πέρσαι ἱζόμενοι ἐπὶ τὸν καταντίον τῆς ἀκροπόλιος ὄχθον, τὸν Ἀθηναῖοι καλέουσι Ἄρηιον πάγον, ἐπολιόρκεον τρόπον τοιόνδε· ὅκως στυππεῖον περὶ τοὺς ὀιστοὺς περιθέντες ἅψειαν, ἐτόξευον ἐς τὸ φράγμα. ἐνθαῦτα Ἀθηναίων οἱ πολιορκεόμενοι ὅμως ἠμύνοντο, καίπερ ἐς τὸ ἔσχατον κακοῦ ἀπιγμένοι καὶ τοῦ φράγματος προδεδωκότος· οὐδὲ λόγους τῶν Πεισιστρατιδέων προσφερόντων περὶ ὁμολογίης ἐνεδέκοντο, ἀμυνόμενοι δὲ ἄλλα τε ἀντεμηχανῶντο καὶ δὴ καὶ προσιόντων τῶν βαρβάρων πρὸς τὰς πύλας ὀλοιτρόχους ἀπίεσαν, ὥστε Ξέρξην ἐπὶ χρόνον συχνὸν ἀπορίῃσι ἐνέχεσθαι, οὐ δυναμένόν σφεας ἑλεῖν. (53) χρόνῳ δ' ἐκ τῶν ἀπόρων ἐφάνη δή τις ἔσοδος τοῖσι βαρβάροισι· ἔδεε γὰρ κατὰ τὸ θεοπρόπιον πᾶσαν τὴν Ἀττικὴν τὴν

ἐν τῇ ἠπείρῳ γενέσθαι ὑπὸ Πέρσῃσι. ἔμπροσθε ὦν πρὸ (om. Romanus) τῆς ἀκροπόλιος, ὄπισθε δὲ τῶν πυλέων καὶ τῆς ἀνόδου, τῇ δὴ οὔτε τις ἐφύλασσε οὔτ' ἂν ἤλπισε μή κοτέ τις κατὰ ταῦτα ἀναβαίη ἀνθρώπων, ταύτῃ ἀνέβησάν τινες κατὰ τὸ ἱρὸν τῆς Κέκροπος θυγατρὸς Ἀγλαύρου, καίπερ ἀποκρήμνου ἐόντος τοῦ χώρου. ὡς δὲ εἶδον αὐτοὺς ἀναβεβηκότας οἱ Ἀθηναῖοι ἐπὶ τὴν ἀκρόπολιν (ἐπὶ τὴν ἀκρ. del. Cobetus), οἳ μὲν ἐρρίπτεον ἑωυτοὺς κατὰ τοῦ τείχεος κάτω καὶ διεφθείροντο, οἳ δὲ ἐς τὸ μέγαρον κατέφευγον. τῶν δὲ Περσέων οἱ ἀναβεβηκότες πρῶτον μὲν ἐτράποντο πρὸς τὰς πύλας, ταύτας δὲ ἀνοίξαντες τοὺς ἱκέτας ἐφόνευον· ἐπεὶ δέ σφι πάντες κατέστρωντο, τὸ ἱρὸν συλήσαντες ἐνέπρησαν πᾶσαν τὴν ἀκρόπολιν.

55 PAVSANIAS *1*, 18, 2 ὑπὲρ τῶν Διοσκούρων τὸ ἱερὸν Ἀγλαύρου τέμενός ἐστιν . . . τὰς δὲ δύο (Pandrosum et Hersen dicunt) κατὰ τῆς ἀκροπόλεως ἔνθα ἦν μάλιστα ἀπότομον αὐτὰς ῥῖψαι. κατὰ τοῦτο ἐπαναβάντες Μῆδοι κατεφόνευσαν Ἀθηναίων τοὺς πλέον τι ἐς τὸν χρησμὸν ἢ Θεμιστοκλῆς εἰδέναι νομίζοντας καὶ τὴν ἀκρόπολιν ξύλοις καὶ σταυροῖς ἀποτειχίσαντας.

56 HERODOTVS *8*, 54 σχὼν παντελέως τὰς Ἀθήνας Ξέρξης ἀπέπεμψε ἐς Σοῦσα ἄγγελον . . ἀπὸ δὲ τῆς πέμψιος τοῦ κήρυκος δευτέρῃ ἡμέρῃ συγκαλέσας Ἀθηναίων τοὺς φυγάδας, ἑωυτῷ δὲ ἑπομένους, ἐκέλευε τρόπῳ τῷ σφετέρῳ θῦσαι τὰ ἱρὰ ἀναβάντας ἐς τὴν ἀκρόπολιν, εἴτε δὴ ὦν ὄψιν τινὰ ἰδὼν ἐνυπνίου ἐνετέλλετο ταῦτα, εἴτε καὶ ἐνθύμιόν οἱ ἐγένετο ἐμπρήσαντι τὸ ἱρόν. οἱ δὲ φυγάδες τῶν Ἀθηναίων ἐποίησαν τὰ ἐντεταλμένα. (55) τοῦ δὲ εἵνεκεν τούτων ἐπεμνήσθην, φράσω. ἔστι ἐν τῇ ἀκροπόλι ταύτῃ Ἐρεχθέος τοῦ γηγενέος λεγομένου εἶναι νηός (σηκός Furtwaengler, *Masterpieces* p. 416[9]), ἐν τῷ ἐλαίη τε καὶ θάλασσα ἔνι, τὰ λόγος παρὰ Ἀθηναίων Ποσειδέωνά τε καὶ Ἀθηναίην ἐρίσαντας περὶ τῆς χώρης μαρτύρια θέσθαι. ταύτην ὦν τὴν ἐλαίην ἅμα τῷ ἄλλῳ ἱρῷ κατέλαβε ἐμπρησθῆναι ὑπὸ τῶν βαρβάρων· δευτέρῃ δὲ ἡμέρῃ ἀπὸ τῆς ἐμπρήσιος Ἀθηναίων οἱ θύειν ὑπὸ βασιλέος κελευόμενοι ὡς ἀνέβησαν ἐς τὸ ἱρόν, ὥρεον βλαστὸν ἐκ τοῦ στελέχεος ὅσον τε πηχυαῖον ἀναδεδραμηκότα. (cf. ad Paus. *1, 27, 9.*)

57 HERODOTVS *9*, 13 πρὶν ἢ τοὺς μετὰ Παυσανίεω ἐς τὸν Ἰσθμὸν ἐμβαλεῖν, ὑπεξεχώρεε 479
(Mardonius) ἐμπρήσας τε τὰς Ἀθήνας καὶ εἴ κού τι ὀρθὸν ἦν τῶν τειχέων ἢ τῶν οἰκημάτων ἢ τῶν ἱρῶν πάντα καταβαλὼν καὶ συγχώσας.

58 HARPOCRATION ἀργυρόπους δίφρος· ὁ Ξέρξου, ὃς αἰχμάλωτος ἐπεκαλεῖτο, ἐφ' οὗ καθεζόμενος ἐθεώρει τὴν ναυμαχίαν. ἀνέκειτο δὲ εἰς τὸν Παρθενῶνα τῆς Ἀθηνᾶς.

59 PAVSANIAS *1*, 27, 1 ἀναθήματα (in aede Poliadis) λάφυρα ἀπὸ Μήδων Μασιστίου θώραξ, ὃς εἶχεν ἐν Πλαταιαῖς τὴν ἡγεμονίαν τῆς ἵππου, καὶ ἀκινάκης Μαρδονίου λεγόμενος εἶναι.

TEMPORA THEMISTOCLIS ARISTIDIS CIMONIS

60 HESYCHIVS βοῦς ἐν πόλει· χαλκοῦς, ὑπὸ τῆς βουλῆς ἀνατεθείς. || PAVSANIAS *1*, 24, 2 ἔστι καὶ ταῦρος, ἀνάθημα τῆς βουλῆς τῆς ἐν Ἀρείῳ πάγῳ, ἐφ' ὅτῳ δὴ ἀνέθηκεν ἡ βουλή.

61 Intra annos 479 et 467, antequam murus Cimonius extrui coeptus est, in summa arce 479/67
magnum templum incohatum est, sed ubi ad imos columnarum spondylos peruentum est, cessauit opus.

62 PLVTARCHVS Cim. 13 πραθέντων τῶν αἰχμαλώτων λαφύρων (e uictoria ad Eurymedontem anno 468 uel 467 parta) εἴς τε τὰ ἄλλα χρήμασιν ὁ δῆμος ἐρρώσθη καὶ τῇ ἀκροπόλει 468/7
τὸ νότιον τεῖχος κατεσκεύασεν, ἀπ' ἐκείνης εὐπορήσας τῆς στρατείας. (cf. IDEM comp. Cim. et Luc. 1, adscriptus ad Paus. *1*, 28, 12.)

63 CORNELIVS NEPOS Cim. *2 his ex manubiis* (Thraciis, Persicis, Scyriis, Thasiis) *arx Athenarum qua ad meridiem uergit est ornata.*

64 PAVSANIAS *1*, 28, 3 τῇ ἀκροπόλει πλὴν ὅσον Κίμων ᾠκοδόμησεν αὐτῆς (?), περιβαλεῖν τὸ λοιπὸν λέγεται τοῦ τείχους Πελασγούς.

65 DEMOSTHENES *19*, 272 τὴν χαλκῆν τὴν μεγάλην Ἀθηνᾶν . ., ἣν ἀριστεῖον ἡ πόλις τοῦ πρὸς τοὺς βαρβάρους πολέμου, δόντων τῶν Ἑλλήνων τὰ χρήματα ταῦτ', ἀνέθηκεν. (cf. n. 45.)

66 PAVSANIAS *1*, 23, 2 ἄγαλμα Ἀφροδίτης, ὃ Καλλίου τέ φασιν ἀνάθημα εἶναι καὶ ἔργον Καλάμιδος, prope arcis propylon positum (cf. ad hunc locum).

67 LYCVRGVS 117 Ἵππαρχον τὸν Χάρμου (Wilamowitzius *Aristot. u. Athen* I, 114, 27: Τιμάρχου ug.) οὐχ ὑπομείναντα τῆς προδοσίας ἐν τῷ δήμῳ κρίσιν, ἀλλ' ἔρημον τὸν ἀγῶνα ἐάσαντα, θανάτῳ τοῦτον ζημιώσαντες, ἐπειδὴ τῆς ἀδικίας οὐκ ἔλαβον τὸ σῶμα ὅμηρον, τὴν εἰκόνα αὐτοῦ (119 τὸν χαλκοῦν ἀνδριάντα) ἐξ ἀκροπόλεως καθελόντες καὶ συγχωνεύσαντες καὶ ποιήσαντες στήλην ἐψηφίσαντο εἰς ταύτην ἀναγράφειν τοὺς ἀλιτηρίους καὶ τοὺς προδότας· καὶ αὐτὸς ὁ Ἵππαρχος ἐν ταύτῃ τῇ στήλῃ ἀναγέγραπται, καὶ οἱ ἄλλοι δὲ προδόται. (118) καί μοι λάβε πρῶτον μὲν τὸ ψήφισμα καθ' ὃ ἡ εἰκὼν ἡ Ἱππάρχου τοῦ προδότου ἐξ ἀκροπόλεως καθῃρέθη, ἔπειτα τῆς στήλης τὸ ὑπόγραμμα καὶ τοὺς ὕστερον προσαναγραφέντας προδότας εἰς ταύτην τὴν στήλην.

68 DEMOSTHENES *9*, 41 γράμματα τῶν προγόνων τῶν ὑμετέρων δεικνύων, ἁκεῖνοι κατέθεντο εἰς στήλην χαλκῆν γράψαντες εἰς ἀκρόπολιν . . . . . (42) τί οὖν λέγει τὰ γράμματα; "Ἄρθμιος" φησί "Πυθώνακτος Ζελείτης ἄτιμος καὶ πολέμιος τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῶν συμμάχων αὐτὸς καὶ γένος". εἶθ' ἡ αἰτία γέγραπται, δι' ἣν τοῦτ' ἐγένετο, "ὅτι τὸν χρυσὸν τὸν ἐκ Μήδων εἰς Πελοπόννησον ἤγαγεν". ταῦτ' ἐστὶ τὰ γράμματα. (cf. DINARCHVS *2*, 24 ad Paus. *1*, 28, 4* exscriptus.)

69 IDEM *19*, 272 ὅλης οὔσης ἱερᾶς τῆς ἀκροπόλεως ταυτησὶ καὶ πολλὴν εὐρυχωρίαν ἐχούσης, παρὰ τὴν χαλκῆν τὴν μεγάλην Ἀθηνᾶν ἐκ δεξιᾶς (titulus ad Arthmium spectans) ἕστηκεν κ. τ. λ. (cf. n. 65.)

70 PAVSANIAS *1*, 24, 3 de statua uiri casside tecti a Cleoeta faberrime facta refert.

71 IDEM *1*, 1, 2 φαίνονται οἱ παῖδες οἱ Θεμιστοκλέους καὶ κατελθόντες καὶ γραφὴν ἐς τὸν Παρθενῶνα ἀναθέντες, ἐν ᾗ Θεμιστοκλῆς ἐστὶ γεγραμμένος. || 26, 4 χαλκοῦν Ἀρτέμιδος ἄγαλμα ἕστηκεν (in orientali arcis parte) ἐπίκλησιν Λευκοφρύνης, ἀνέθεσαν δὲ οἱ παῖδες οἱ Θεμιστοκλέους.

AETAS PERICLIS

72 Muri arcis et undique altius efferuntur et a septentrione ad finem perducuntur, partibus tam Hecatompedi quam noui templi (n. 61) in usum uocatis.

73 PAVSANIAS *10*, 35, 2 Ἑλλήνων τοῖς ἀντιστᾶσι τῷ βαρβάρῳ τὰ κατακαυθέντα ἱερὰ μὴ ἀνιστάναι σφίσιν ἔδοξεν, ἀλλὰ ἐς τὸν πάντα ὑπολείπεσθαι χρόνον τοῦ ἔχθους ὑπομνήματα.

74 PLVTARCHVS Pericl. 17 ἀρχομένων Λακεδαιμονίων ἄχθεσθαι τῇ αὐξήσει τῶν Ἀθηναίων ἐπαίρων ὁ Περικλῆς τὸν δῆμον ἔτι μᾶλλον μέγα φρονεῖν καὶ μεγάλων αὑτὸν ἀξιοῦν πραγμάτων γράφει ψήφισμα, πάντας Ἕλληνας τοὺς ὁπήποτε κατοικοῦντας Εὐρώπης ἢ τῆς Ἀσίας παρακαλεῖν, καὶ μικρὰν πόλιν καὶ μεγάλην, εἰς σύλλογον πέμπειν Ἀθήναζε τοὺς βουλευσομένους περὶ τῶν Ἑλληνικῶν ἱερῶν, ἃ κατέπρησαν οἱ βάρβαροι, καὶ τῶν θυσιῶν, ἃς ὀφείλουσιν ὑπὲρ τῆς Ἑλλάδος εὐξάμενοι τοῖς θεοῖς ὅτε πρὸς τοὺς βαρβάρους ἐμάχοντο, καὶ τῆς θαλάττης, ὅπως πλέωσι πάντες ἀδεῶς καὶ τὴν εἰρήνην ἄγωσιν. ἐπὶ ταῦτα δ' ἄνδρες εἴκοσι τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων ἐπέμφθησαν . . . . ἐπράχθη δὲ οὐδὲν οὐδὲ συνῆλθον αἱ πόλεις, Λακεδαιμονίων ὑπεναντιωθέντων ὡς λέγεται καὶ τὸ πρῶτον ἐν Πελοποννήσῳ τῆς πείρας ἐλεγχθείσης.

75 EPIT. HIST. ATT. (papyr. Argentorat. Gr. 84) § 1 Athenienses Pericle rogante aedificandis templis duouiros constituunt . . . . Κι]κυννέα, ἐπιστάτας δύο, καὶ πρ[ὸς τούτοις | [2]ταμίας κατ' ἐνιαυτὸν δέκα — ἐ]ξ ἑκάστης γὰρ φυλῆς ἕνα ἡροῦ[ν]τ[ο — καὶ | [3] ἀρχιτέκτονα καὶ γραμματέ]α· καὶ τὸν Παρθενῶνα μετ' ἔ[τ]η ι' [κα|[4]ταπολεμηθέντων ἤδη τῶν Περ]σῶν ἤρξαντο οἰκοδομεῖν. (suppleuit Br. Keil.) 457

76 Sexagesimae tributorum (μνᾶ ἀπὸ ταλάντου) urbium confoederatarum Mineruae dicari coeptae sunt. 454

77 Populiscitum de Mineruae Victoriae sacerdote creanda, fano a Callicrate porta claudendo, aede et ara extruendis (AE 6).

78 Populiscitum quo Callicrates muro uel uallo erigendo cauere iubetur ne fugitiui uel fures arcem intrent (AE 3).

79 Tabula foederis cum Phocensibus icti in arce ponitur (CIA IV, 1 p. 8 n. *22b*). 454/3

80 Tabula foederis cum Segestanis icti ἐμ πόλει ponitur (CIA I, 20). 453

81 EPIT. HIST. ATT. (papyr. Argentor. Gr. 84) § 2 ὅτι |[5] [τῷ κοινῷ τῶν συμμάχων ἐπ' Εὐ]θυδήμου Περικλέους γνώμ[ην εἰσ|[6]ηγουμένου ἔδοξε τὰ χρήματα] τὰ ἐν Δή(λ)ῳ ἀποκείμενα, τάλαν[τα |[7] κοινῇ συνηγμένα πλείω ἢ πε]ντακισχείλια κατὰ τὴν Ἀριστ[ίδου |[8] τοῦ φόρου τάξιν, μετακομίζ]ειν εἰς τὴν πόλιν. (suppl. Br. Keil.) 450

82 PAVSANIAS *1*, 28, 2 τῶν ἔργων τῶν Φειδίου θέας μάλιστα ἄξιον Ἀθηνᾶς ἄγαλμα, ἀπὸ τῶν ἀναθέντων καλουμένης Λημνίας, prope arcis propylon collocatur.

83 Myronis Perseus, Minerua et Marsyas, Erechtheus, fortasse uaccula (*1*, 23, *7*. 24, 1. 27, 4. ad 24, 11*) in arce collocantur.

84 STRABO *9* p. 395 Ἰκτῖνος . . . τὸν Παρθενῶνα ἐποίησε τὸν ἐν ἀκροπόλει τῇ Ἀθηνᾷ Περικλέους ἐπιστατοῦντος τῶν ἔργων. (cf. AE 10.) 447

85 PLVTARCHVS Pericl. 12 ὅπου ὕλη μὲν ἦν λίθος, χαλκός, ἐλέφας, χρυσός, ἔβενος, κυπάρισσος, αἱ δὲ ταύτην ἐκπονοῦσαι καὶ κατεργαζόμεναι τέχναι τέκτονες, πλάσται, χαλκοτύποι, λιθουργοί, βαφεῖς χρυσοῦ, μαλακτῆρες ἐλέφαντος, ζωγράφοι, ποικιλταί, τορευταί, πομποὶ δὲ τούτων καὶ κομιστῆρες ἔμποροι καὶ ναῦται καὶ κυβερνῆται κατὰ θάλατταν, οἱ δὲ κατὰ γῆν ἁμαξοπηγοὶ καὶ ζευγοτρόφοι καὶ ἡνίοχοι καὶ καλωστρόφοι καὶ λινουργοὶ καὶ σκυτοτόμοι καὶ ὁδοποιοὶ καὶ μεταλλεῖς· ἑκάστη δὲ τέχνη καθάπερ στρατηγὸς ἴδιον στράτευμα τὸν θητικὸν ὄχλον καὶ ἰδιώτην συντεταγμένον εἶχεν, ὄργανον καὶ σῶμα τῆς ὑπηρεσίας γινόμενον· εἰς πᾶσαν ὡς ἔπος εἰπεῖν ἡλικίαν καὶ φύσιν αἱ χρεῖαι διένεμον καὶ διέσπειρον τὴν εὐπορίαν. (13) ἀναβαινόντων δὲ τῶν ἔργων ὑπερηφάνων μὲν μεγέθει, μορφῇ δ' ἀμιμήτων καὶ χάριτι, τῶν δημιουργῶν ἁμιλλωμένων ὑπερβάλλεσθαι τῆς δημιουργίας τῇ καλλιτεχνίᾳ, μάλιστα θαυμάσιον ἦν τὸ τάχος. ὧν γὰρ ἕκαστον ᾤοντο πολλαῖς διαδοχαῖς καὶ ἡλικίαις μόλις ἐπὶ τέλος ἀφίξεσθαι, ταῦτα πάντα μιᾶς ἀκμῇ πολιτείας ἐλάμβανε τὴν συντέλειαν . . . ὅθεν καὶ μᾶλλον θαυμάζεται τὰ Περικλέους ἔργα πρὸς πολὺν χρόνον ἐν ὀλίγῳ γενόμενα . . . πάντα δὲ διεῖπε καὶ πάντων ἐπίσκοπος ἦν αὐτῷ Φειδίας, καίτοι μεγάλους ἀρχιτέκτονας ἐχόντων καὶ τεχνίτας τῶν ἔργων. τὸν μὲν γὰρ ἑκατόμπεδον Παρθενῶνα Καλλικράτης εἰργάζετο καὶ Ἰκτῖνος . . τὸ δ' Ὠιδεῖον . . ἐπιστατοῦντος καὶ τούτῳ Περικλέους . . . τὰ δὲ Προπύλαια τῆς ἀκροπόλεως ἐξειργάσθη μὲν ἐν πενταετίᾳ Μνησικλέους ἀρχιτεκτονοῦντος . . . ὁ δὲ Φειδίας εἰργάζετο μὲν τῆς θεοῦ τὸ χρυσοῦν ἕδος καὶ τούτου δημιουργὸς ἐν τῇ στήλῃ ἀναγέγραπται, πάντα δ' ἦν σχεδὸν ἐπ' αὐτῷ καὶ πᾶσιν, ὡς εἰρήκαμεν, ἐπεστάτει τοῖς τεχνίταις διὰ φιλίαν Περικλέους.

86 ARISTOTELES hist. anim. *6*, 24 p. 577 ἤδη τις (ἡμίονος) βεβίωκεν ἔτη καὶ ὀγδοήκοντα, οἷον Ἀθήνησιν ὅτε τὸν νεὼν (τὸν ἑκατόμπεδον νεὼν Plutarchus de soll. anim. 13, τὸν Παρθενῶνα Aelianus de nat. anim. *6*, 49) ᾠκοδόμουν· ὃς καὶ ἀφειμένος ἤδη διὰ τὸ γῆρας

συναμπρεύων καὶ παραπορευόμενος παρώξυνε τὰ ζεύγη πρὸς τὸ ἔργον, ὥστ' ἐψηφίσαντο μὴ ἀπελαύνειν αὐτὸν τοὺς σιτοπώλους ἀπὸ τῶν τηλιῶν.

87 Odeo perfecto musica Panathenaeorum certamina ibi inaugurantur. SCHOL. ARISTOPH. NVB. 971 ὁ Φρῦνις κιθαρῳδὸς Μυτιληναῖος. οὗτος δὲ δοκεῖ πρῶτος κιθαρίσαι παρ' Ἀθηναίοις καὶ νικῆσαι Παναθηναίοις ἐπὶ Καλλιμάχου ἄρχοντος (Ol. 83, 3 Meier *Panathenaeen* 446
p. 285, 80: Καλλίου Ol. 81, 1 = 456 RV). || PLVTARCHVS Pericl. 13 φιλοτιμούμενος ὁ Περικλῆς τότε πρῶτον ἐψηφίσατο μουσικῆς ἀγῶνα τοῖς Παναθηναίοις ἄγεσθαι καὶ διέταξεν αὐτὸς ἀθλοθέτης αἱρεθείς, καθότι χρὴ τοὺς ἀγωνιζομένους αὐλεῖν ἢ ᾄδειν ἢ κιθαρίζειν.

88 Quadriga Chalcidensium titulo paullulum immutato restituitur (cf. n. 43). 446?

89 Tabula pacti cum Samiis facti ἐν πόλει ponitur (CIA. I, 87). 445

90 Thucydides Melesiae f., qui in erigenda signa et templa χιλιοτάλαντα inuectus erat, testarum suffragiis Athenis pellitur. 444

91 Collegii curatorum Parthenoni aedificando primum certa mentio fit (AE 10). 444/3

92 Duae statuae equestres iussu equitum a Lycio Myronis f. factae prope propylon arcis collocantur (cf. ad Paus. *1*, 22, 4); item Lycii puer labrum tenens (Paus. *1*, 23, 7), Periclis herma a Cresila factus, statuae Xanthippi et Anacreontis (ib. 25, 1), Diitrephis (ib. 23, 3), Hermolyci (ib. 23, 10).

93 Lex a Lampone non ante Ol. 84 (= 444/40) lata de Pelargico terminando neque 440?
aris occupando, lapidibus non caedendis neque eximendis (cf. ad Paus. *1*, 28, 13**).

94 HIERONYMVS ad Ol. 85, 2 *Fidias eburneam Mineruam fecit.* || DIODORVS *12*, 39 438
τὸ τῆς Ἀθηνᾶς ἄγαλμα Φειδίας μὲν κατεσκεύαζε, Περικλῆς δὲ ὁ Ξανθίππου καθεσταμένος ἦν ἐπιμελητής. (cf. ad Paus. *1*, 24, 34*.)

95 ARISTOPHANES pac. 605 πρῶτα μὲν γὰρ ἦρξεν ἄτης (Seidlerus: αὐτῆς ἦρξε libri) Φειδίας πράξας κακῶς. | SCHOL. Φιλόχορος ἐπὶ Θεοδώρου (Palmerius: Πυθοδώρου RV) ἄρχοντος (Ol. 85, 3) ταῦτά φησι "καὶ τὸ ἄγαλμα τὸ χρυσοῦν τῆς Ἀθηνᾶς ἐστάθη εἰς τὸν νεὼν 438/7
τὸν μέγαν, ἔχον χρυσίου σταθμὸν ταλάντων μδ', Περικλέους ἐπιστατοῦντος, Φειδίου δὲ ποιήσαντος. (hic Philochori uerba desinere quidam putant.) καὶ Φειδίας ὁ ποιήσας, δόξας παραλογίζεσθαι τὸν ἐλέφαντα τὸν εἰς τὰς φολίδας ἐκρίθη, καὶ φυγὼν εἰς Ἦλιν ἐργολαβῆσαι τὸ ἄγαλμα τοῦ Διὸς τοῦ ἐν Ὀλυμπίᾳ λέγεται, τοῦτο δὲ ἐξεργασάμενος ἀποθανεῖν ὑπὸ Ἠλείων" (ὑπὸ Ἠλ. damnat R. Schoell *Münchener Sitzungsber.* 1888 p. 35).

96 PLINIVS *22*, 44 *uerna carus Pericli Atheniensium principi, cum is in arce templum aedificaret repsissetque super altitudinem fastigi et inde cecidisset, hac herba* (perdicio) *dicitur sanatus, monstrata Pericli somnio a Minerua, quare parthenium uocari coepta est adsignaturque ei deae. hic est uernula cuius effigies ex aere fusa est, nobilis ille splanchnoptes* (Styppacis Cyprii, cf. idem *34*, 81).

Panagiotes Kabbadias antiquitatibus regni praefectus strenue perficit.

341 Aedis Mineruae saeculi sexti uestigia a Doerpfeldo agnoscuntur. 1885

342 Museum minus in arce aedificatur, muri Turcici inter Odeum et Propylaea siti et 1888
propugnaculum Odyssei (n. 316) tolluntur.


343 Georgius Kawerau Borussus magnam formam arcis delineat nondum editam. 1889

344 I. H. Middleton Anglus monumenta arcis a semet dimensurata delineat (ed. 1900). 1890/92

345 A. de Ridder Gallus aereorum in arce repertorum catalogum edit. 1896

346 Arce qua ad septentriones uergit sumptibus societatis archaeologicae purgari coepta 1896
antrum Apollinis cum regione uicina nudatur.

347 Parthenon post terrae motus a. 1893 ruinam minans sumptibus eiusdem societatis 1895/1901
restituitur.



Forma arcis a Fauuelo (n. 310) anno fere MDCCC delineata

BREVIORES ARCIS DESCRIPTIONES

A PEREGRINATORIBVS RECENTIORIBVS FACTAE

1395. Nicolai de Marthono Campani itinerarium.

(Cod. Paris. Lat. 17197. Ed. L. Le Grand, *Revue de l'Orient Latin* III, 1895, p. 650 seqq. W. Iudeich, *Athen. Mitth.* 1897 p. 427 seqq.)

4. *De castro Acthenarum et sala ipsius. Deinde accessimus ad castrum ipsius ciuitatis, quod est supra quoddam saxo marmoreo hedificatum; in quo castro est quedam sala magna* (Propylaea), *in qua sunt columpne magne XIII. supra quas columpnas sunt trabes longi pedibus triginta, et supra ipsas trabes sunt tabule marmoree: magnum et mirabile opus uidetur.*

5. *De ecclesia maiori Acthenarum et pulcris hedificiis ipsius. Postea accessimus ad maiorem ecclesiam* (Parthenonem) *sitam intra dictum castrum, uocabuli Sancte Marie, que ecclesia est fabricata lapidibus marmoreis et magnis, omnibus implummatis, et est ipsa ecclesia magna sic ut ecclesia Capuana. in circuytu ipsius ecclesie extra ecclesiam sunt columpne magne*

LX, quelibet ipsarum alta plus de scalis de uendemiando, et grossa quantum possent accingere quinque homines brachiis expansis, et supra ipsas columpnas sunt trabes de marmore longe et grosse; supra quas est atrium ipsius ecclesie. impossibile uidetur menti hominis, quomodo ipsa tam magna hedificia construi potuerunt. 6. *De columpna signata per sanctum Dyonisium. Intus quas columpnas est una columpna signata, in qua sanctus Dyonisius tempore passionis domini nostri Yhesu Christi stabat adhesus . . . et signauit sua manu dictam columpnam quadam cruce sua manu, que crux adhuc permanet in illa columpna. introytus ipsius ecclesie est largus ut extimo cannas quatuor et altus cannas quinque. in dicto introytu sunt porte de illis portellis, qui steterunt in portis ciuitatis Troye quando ciuitas Troye fuit destructa . . .* 7. *De primo altari. Dicta ecclesia habet duas naues, unam post aliam; in qua naui prima est primum altare factum in mundo per sanctum Dyonisium post adhectam sanctam catholicam fidem.* 9. *De cona* (i. e. icone) *uirginis Marie facta per manus sancti Luce. . . . . in circuytu ipsius ecclesie sunt columpne de marmore LXXX, supra quas sunt trabes longi de marmore cum tabulis marmoreis, supra quas currit annitus per totum circuytum ipsius ecclesie. in quadam fissura muri ipsius ecclesie apparet lumen ignis accensi quod nunquam extinguitur; extimatur quod aliquod corpus sanctum ibi sit inclusum.* 11. *De quodam ydolo. Extra menia castri* (supra theatrum) *sunt due columpne magne, supra quas dicitur alias fuisse quoddam septrum mirifice factum; in quo septro dicitur quod erat quidam ydolus intra inclusus, cum tali potestate constructus quod si qua nauilia illis temporibus uenissent contra ciuitatem Acthenarum, quantum longe uidebantur in mari, per dictum ydolum statim suffocabantur, quando uero ueniebant ad Acthenas pro bono esse, nullum nocumentum ipsis nauiliis per dictum ydolum inferebatur.*

1436 (a. d. VIII. id. April.). CYRIACVS ANCONITANVS.

(Ed. Wachsmuth, *Stadt Athen* I p. 727. Michaelis, *Arch. Zeitung* 1882 p. 370.)

1. *Ad statuam Gorgonis sub arce* (supra theatrum), *ad marmoream et ornatissimam scenam, prope incisam rupem et mira ope fabrefactum specus* (tituli CIA. II, 1292. 1293. 1247, cf. ad Paus. c. 21, 15). 2. *Extat in summa ciuitatis arce ingens et mirabile Palladis diuae marmoreum templum* (Parthenon), *ex Phidia diuum quippe opus, quod LVIII sublime columnis, latitudinis p(almorum) VII diametrum habens, ornatissimum praeclaris imaginibus in frontespiciis ambobus et intus in summis parietum listis ac epistiliis ab extra, quibus et Centaurorum pugna mira fabrefactoris arte conspicitur.*

1447 (d. XXIX m. Martii). IDEM.

(Ed. Tozzetti, *Relazioni d'alcuni viaggi* V[2] p. 439. Wachsmuth l. l. p. 729.)

. . *cum eiusdem* (arcis) *praecellentis aulae nobilissimum opus diligentius adspexissem, uidimus eiusdem mirificam porticum* (aediculam Victoriae) *quatuor expolitis de marmore columnis decemque desuper ex ordine marmoreis trabibus constare. sed postquam ad ipsam et praecipuam uenimus aulam* (Propylaea), *sex ingentes bino ordine columnae* (*columnas* ug.) *trium pedum diametri latitudine marmorea laquearia uiginti quatuorque terno ordine trabes polito utique de marmore substentabant; quaelibet uero trabes p(edum) 24 longitudo, latitudo uero 3 fuisse uidentur. et ipsae utique nobiles de marmore parietes aequa magnitudine expoliti lapidis constant, ad quas per unicam ingentem et mirificam portam patet ingressus. sed potissimum eadem ipsa in praeclara arce iterum reuisere ac omni ex parte diligentius uestigare malueram nobilissimam illam diuae Palladis aedem* (Parthenonem), *quam solido et expolito marmore Phidiae mirificum opus extitisse Aristoteles ad Alexandrum regem Pliniusque noster et alii plerique nobiles testantur auctores. exstat uero nostram ad diem eximium illud et mirabile templum, octo et L sublime columnis, XII scilicet ab utroque fronte, VI uidelicet in medio duplici ordine, et extra parietes in lateribus ab utraque parte XVII numero, quaelibet magnitudine diametri p(edum) V. et inter ipsas hinc inde pro lateribus col(umnas) et praeclaros* (*praeclari* ug.) *parietes deambulatoria VIII pedum amplitudine constant. habent et columnae desuper epistilia longitudine p(edum) VIII cum dimidio, altitudine uero III; in quis Thessalicae* (*Thessalica* ug.) *Centaurorum et Laphitarum pugnae mirifice consculptae uidentur. et in summis parietum listis duorum fere cubitum a cacumine discretas Athenarum Periclis tempore uictorias artifex ille peregregie fabrefecerat, pene decennis pueri staturae. in frontibus uero tota re uelaminis demersione* (*releuaminis*, i. e. rilievo, *dimensione*?) *magnis collosseisue simulachris hominum et equorum tam ingentis delubri ornamenta atque decora alta uidentur.*

1458/60. ANONYMVS VINDOBONENSIS.

(Cod. Vindob. theol. Gr. 252, fol. 30 r. 31 v. 32 v. Wachsmuth l. l. p. 738 coll. Laborde, *Athènes* I ad p. 16. Foerster, *Athen. Mitth.* 1883 p. 30.)

4. Πλησίον τούτῳ (palatiis Cleonidae et Miltiadis) ἀκμὴν ἵσταται διδασκαλεῖον λεγόμενον τοῦ Ἀριστοτέλους (murus ΣερπεντΖέ). ὕπερθε δὲ τούτου ἵστανται δύο κίονες (supra theatrum)· καὶ εἰς μὲν τὸν ἀνατολικὸν ὑπῆρχε τὸ τῆς Ἀθηνᾶς ἄγαλμα, εἰς δὲ τὸν δυσικὸν ⟨τὸ⟩ τοῦ Ποσειδῶνος, μέσον δὲ τούτου λέγουσιν εἶναί

ποτε Γοργόνης κεφαλὴν ἔνδον κουβουκλείου (i. e. cubiculi) σιδηροῦ. ἔστι δὲ καὶ ὡρολόγιον τῆς ἡμέρας μαρμαρίτικον.

10. Εἰς γοῦν τὴν ἀκρόπολιν ἡμῶν εἰσερχομένων εὑρίσκομεν ἕνα μικρὸν διδασκαλεῖον (aediculam Victoriae), ὅπερ ὑπῆρχε τῶν μουσικῶν· ὅπερ Πυθαγόρας ὁ Σάμιος συνεστήσατο. κατέναντι δὲ τούτου ἔστι παλάτιον μέγιστον (Propylaea)· καί ὑποκάτωθεν τούτου ἵστανται πλεῖστοι ⟨κίονες⟩, λευκῶν δὲ μαρμάρων πλουτεῖ σὺν τῇ ὀροφῇ καὶ τοῖς τείχεσι. πρὸς δὲ τὸ βόρειον κλεῖτος ὑπῆρχε πᾶσα καγγελαρία ἐκ μαρμάρου καὶ κιόνων πεποιημένη λευκῶν. κατὰ νότον δὲ ταύτης ὑπῆρχεν ἡ στοὰ ἐν ποικίλῃ ὡραιότητι, περικεχρυσωμένη γύροθεν καὶ ἔξωθεν καὶ λίθοις τιμίοις κεκοσμημένη· διὰ ταύτην καὶ Στοικοὶ φιλόσοφοι ἐλέγοντο οἱ ἐν ταύτῃ μαθητευθέντες. ἀντικρὺς δὲ ταύτης τὸ τῶν Ἐπικουρείων ἤκμαζε διδασκαλεῖον. 11. περὶ δέ γε τοῦ ναοῦ τῆς Θεομήτορος (Parthenonis), ὃν ᾠκοδόμησαν Ἀπολλὼς καὶ Εὐλόγιος ἐπ' ὀνόματι Ἀγνώστῳ θεῷ, ἔχει οὕτως. ἔστι ναὸς δρομικώτατος καὶ εὐρύχωρος, εἰς μῆκος πολὺ ἐπεκτεινόμενος, καὶ τὰ τείχη τούτου ἐκ μαρμάρου πεποιημένα (-ου cod.) λευκοῦ· τετράγωνος δὲ ἡ τούτων θέσις καθέστηκε πηλοῦ καὶ ἀσβέστου χωρίς, διὰ σιδήρου δὲ καὶ μολύβδου ὁ τοῖχος ἀνάγεται. ἐκτὸς δὲ τοῦ τοίχου πλουτεῖ κίονας παμμεγέθεις κυκλικῶς τὸν ναὸν περιέχοντας. μεταξὺ δὲ τῶν δύο κιόνων περιέχει πλαγίωσιν, πρὸς δὲ τῇ ὡραίᾳ πύλῃ καὶ τὸ ἅγιον βῆμα. ἅπερ εἰσὶ κατὰ λίβαν καὶ θρασκίαν καὶ ⟨ζέφυρον, διπλῆν?⟩ τὴν τῶν κιόνων στάσιν ἐπικέκτηται, μέχρι μὲν πολλοῦ προιοῦσα⟨ν⟩ εἰς ὕψος. κεφαλαὶ δὲ τῶν κιόνων κεκολαμμέναι διὰ γλυφῆς σιδήρου εἰς σχῆμα φοίνικος ⟨εἰσίν⟩· εἰσὶ δὲ μεταπεποιημέναι, καὶ τούτου ὕπερθεν δοκοὶ ἐκ μαρμάρου πεποιημένοι λευκοῦ, τοῖς τείχεσι (κίοσι?) καὶ τῷ τείχει προσκολλώμενοι, πλάκας κεκολαμμένας ὑπεράνωθεν ἔχοντες· καὶ εἰς ὀροφῆς ὁμοίωμα ἡ τούτων ἐπιφαίνεται κύρτωσις. στηρίζεται δὲ ὑπὸ τῶν κιόνων καὶ τοῖχος ὡραιότατος.

Post. a. 1460. ANONYMVS PARISINVS.

(Cod. Par. Gr. 1631 A, fol. 158 v. Wachsmuth l. l. p. 742. Foerster, *Athen. Mitth.* 1883 p. 30.)

Τὸ κάστρο εἶναι ἡ ἀκρόπολις. τὸ ἰσμαῖδι εἶναι ὁ ναὸς τῆς Ἀθηνᾶς τῆς Παλλάδος. ἡ Χρυσοσπηλιότισσα εἶναι τὸ σπήλαιον τοῦ Πανός. δύο κολώναις· εἰς τὴν μίαν ἦτον τὸ ἄγαλμα τῆς Ἀθηνᾶς μὲ τῆς Γοργώνας τὴν κεφαλήν, καὶ εἰς τὴν ἄλλην ἦτον τὸ ἄγαλμα τοῦ Διός (δυός cod.)· ἀποκάτω εἰς τὴν ὁποίαν εἶναι ὡρολόγιον (π . . . ρολόγιον cod.) μαρμαρένιον.

Post a. 1463. ANONYMVS AMBROSIANVS.

(Cod. Ambros. C 61 inf., fol. 88 seq. Ed. Ziebarth, *Athen. Mitth.* 1899 p. 73.)

2. . . . *in summità del monte è aedificata la fortezza, et è un fortissimo castello, e muri antiqui con sassi quadrati. Et è longo el ditto castello circa u⟨n⟩ 4º ⟨di⟩ miglia, et estendisse la longezza ab occidente in levante, aedificio molto bello da veder. Et è nel detto castello una chiessia* (Parthenon) *che già fu tempio antiquo de romani, molto mirabile, tutto de marmore, con col⟨on⟩ne a torno, et è oblongo pur ab occidente in orientem; e la fazza davanti nel fronto sono infiniti imagini di marmore, di tutto rilievo, et copert⟨i⟩* (?) *tutti di marmori. È ancora nel detto castello un dignissimo palazzo antiquo* (Propylaea) *apresso la detta chiesia, et è tutto di marmore fatto alla romana.*

10. *Item verso mezzodì over ostro apresso li muri del castello* (supra theatrum) *sono 2 colonne di marmori in piè, assai belle, e per non haver potuto acostarme non ho compreso quello che sia.*

1575 d. 15 m. Nou. THEODOSIVS ZYGOMALAS Naupliensis ad Martinum Crusium Tubingensem.

(Ed. Crusius, *Turcograeciae* p. 430.)

. . . τὸ Πάνθεον (Parthenon), οἰκοδομὴν νικῶσαν πάσας οἰκοδομάς, γλυπτῶς ἐκτὸς διὰ πάσης οἰκοδομῆς ἔχουσαν τὰς ἱστορίας Ἑλλήνων, καὶ ταῦτα τὰς θείας· καὶ μετὰ τῶν ἄλλων ἐπάνω τῆς μεγάλης πύλης ἵππους δύο φρυασσομένους ἀνδρομέαν εἰς σάρκα, τὸ δοκεῖν ἐμψύχους, οὓς λέγεται ὅτι ἐλάξευσε Πραξιτέλης· καὶ ἔστιν ἰδεῖν διικνουμένην καὶ λίθων τὴν ἀρετήν, θεάσασθαί τε καὶ ἄλλα θαύματος ἄξια.

1578 d. 13 m. Febr. SYMEON KABASILAS ad eundem.

(ibid. p. 461.)

. . . νῦν δὲ τὸ μὲν ἐσώτερον (ὅπερ ἀκρόπολις), ἐν ᾧ καὶ ναὸς τῷ ἀγνώστῳ θεῷ, ἅπαν ὑπὸ μόνων Ἰσμαηλιτῶν οἰκούμενον.

1630. LVDOVICI DES HAYES itinerarium.

(*Voiage de Levant*, Par. 1632, p. 467. Laborde, *Athènes* I p. 64.)

. . . *Sur le haut du rocher est le chasteau dont les Turcs se servent encores aujourd'huy. Entre plusieurs anciens bastimens, il y a un temple* (Parthenon) *qui est aussi entier et aussi peu offencé de l'injure du temps comme s'il ne venoit que d'être fait; l'ordre et la structure en est admirable; sa forme est ovalle, et par dehors aussi bien que par dedans* [;] *il est soutenu par trois rangs de colonnes de marbre, garnies de leur bases et de leur chapiteaux: derrière chaque colonne il y a un pilastre qui en suit l'ordonnance et la proportion. Les chrétiens du pays disent que ce temple est celui-là même qui étoit dédié au Dieu incogneu, dans lequel saint Paul prescha; à présent il sert de mosquée, et les Turcs y vont faire leurs oraisons.*

1671—79. BERNARDVS RANDOLPH Anglus.

(*Present State of the Morea.* 1686. Ed. III, 1689, p. 23.)

This castle stood almost in the middle of old Athens. The place most worth observation in it is the temple of Minerva which remains entire, being esteemed by all who have seen it to be one of the most glorious buildings in Europe. It is all pure white marble. The length of the body of the temple is 168 English feet, and the breadth 71. There are seventeen pillars at each side, and eight at the front. The circuit of the pillars are $19^{1}/_{2}$ *foot, the length of the whole temple 230 feet. The temple is very dark, having only some lights to the eastward. The Greeks did consecrate and dedicated it to the blessed Virgin. Since that, the Turks have perverted it with their worship. The Turks have white-wash'd the inside, notwithstanding it is all of pure marble.*

1672 (d. VIII m. Oct.). IACOBVS PAVLVS BABIN S. I. ad abbatem Pécoil.

(Ed. Spon, *Relation de l'état présent de la ville d'Athènes*, Lugd. 1674, p. 25 seqq. Ross, *Hellenika* I p. 75 seqq. Wachsmuth, *Stadt Athen* I p. 745 seqq.)

A. fere 1674. ANONYMVS NOINTELIANVS.

(Cod. Paris. suppl. Gr. 301, fol. 209 seq. Ed. Collignon *Comptes rendus de l'Acad. des inscr.* 1897 p. 64 seqq.)

Premier sont les escholes de divers filosophes comme suit. La première celle d'Aristote (murus Σερπεντζέ), *soubz le chasteau, au dessoubs du temple qui estoit dédié au dieu Pan* (monumentum Thrasylli); *d'icelle ne paroist plus qu'un costé de murailles de grosses pierres de taille. Et plus proche du chasteau est l'autre des péripaticiens qui venoit se joindre là. La* 2me *des péripaticiens* (theatrum Herodis), *laquelle estoit, dit-on, soubz la direction dudit Aristote . . .; de la dite eschole reste encore beaucoup de fabrique . . . . .*

Le chasteau auparavant estoit au milieu de la ville; à présent il en est environné seulement de la moittyée. Ledit chasteau fut fabriqué dez le temps de Cécrops, premier roy d'Athènes, ainsy que le splendide temple dédié à la déesse Minerve (Parthenon), *qui est fort embely tout au tour de figures de marbre, et qui sont la plus grand part dans leur entier, et dict on estre ouvrage de ce grand sculpteur Fidias. Le temple est tout de marbre, mesme le toict la plus part couvert aussy de pierres minces de marbre, et plusieurs belles colomnes fort grosses tout au tour; à présent ledit temple sert de mousquée. En descendant de la mousquée sont les restes d'un fort beau palais* (Propylaea) *tout de marbre, le quel, faict 35 ans, saulta en l'air ainsy que l'aga du chasteau et toutte sa famille, hors d'une fille dudit aga laquelle se treuva cette nuict chez ses parents, laquelle est la femme de l'aga du chasteau d'aujourd'huy. Cet accident arriva la veille de la saint Dimitre prez la minuit, par un tonnerre qui mit le feu aux poudres, et ce dict on pour certain en punittion de ce que le dit aga du chasteau, grand ennemy des chrestiens, avoit préparé trois pièces de canon et fait tirer le matin à l'albe sur une église dédiée à saint Dimitre proche du chasteau et la mettre à bas, attendu que tous les ans le jour de la fête dudit sainct les Grecs y faisoient des grandes rejouissances . . . .*

. . . Trois lyons estoient et sont en Attenes encor aujourd'huy, sçavoir celuy du Port Léon, lequel est sur sa guarde ainsy que celuy du chasteau, et l'auttre qui est celuy qui estoit dans la place publique, lequel est comme en posture comme se reposant, signifiant par là que, comme à la marine et au chasteau se faisoit bonne garde, que la ville pouvoit rester en repos.

De l'auttre costé du chasteau dans une grotte au dessoubz des murailles dudit chasteau est le temple du dieu Pan (monumentum Thrasylli), *à présent dédié à la sainte Vierge, et au dessus d'iceluy sont deux colomnes, et y at apparence que devoient estre trois. Y at au dessubs de l'esglise deux figures de marbre dont leur manque la teste, dont l'une, disoit on, estoit Jupitter, et l'autre Junon.*

1676 (d. X m. Ian.) FRANCISCVS VERNON mathematicus Anglus ad H. Oldenburg.

(*Philos. Transactions* XI n. 124. Michaelis, *Parthenon* p. 339.)

The temple of Minerva is as entire as the Rotunda. I was three times in it, and took all the dimensions with what exactness I could; but it is difficult, because the castle at Athens, in which it stands, is a garrison, and the Turks are jealous and brutishly barbarous, if they take notice that any measures it. The length of the cella or body of the temple without-side is 168, the breadth 71 feet English. These measures you may rely on as exact to half a foot. The portico of the Doric order which runs round it, hath 8 pillars in front, 17 on the sides; the length of the portico is 230 feet English. I have taken all the dimensions within, with those of the προναὸς *and portico's, but they are too long for a letter. The fuste or shaft of the pillars is* $19^{1}/_{2}$ *feet in circumference, the intercolumnium* $1^{1}/_{4}$ *of the diameter of the pillars . . . . Both of them* (templa Thesei et Mineruae) *are of white marble. About the cornice on the outside of the temple of Minerva is a basso rilievo of men on horseback, others in chariots, and a whole procession of people going to a sacrifice, of very curious sculpture. On the front is the history of the birth of Minerva.*

1676. IACOBVS SPON Lugdunensis.

(*Voyage d'Italie* cett., Lugd. 1678, II p. 131 seqq.)

1676. GEORGIVS WHELER Anglus.

(*Journey into Greece*, Lond. 1682, p. 357 seqq.)



Bacchus in theatro suo sub arce, cui columnae Parthenonis imminent, in solio sedet adstantibus dis tutelaribus ciuitatis Athenarum, Vesta Theseo Pace (Paus. *1*, 18, 3).

Ἐν ἀκροπόλει τῇ Ἀθήνησιν οἵ τε ἀνδριάντες καὶ ὁπόσα ἄλλα, τὰ πάντα ἐστὶν ὁμοίως ἀναθήματα.
PAVSANIAS *5*, 21, 1.

Τὴν ἀκρόπολιν (ἡ πόλις) κατεκόσμησε τοῖς τῶν ἔργων ὑπομνήμασι καὶ τῷ τῆς φύσεως κάλλει τὸ παρὰ τοῦ πλούτου καὶ τῆς τέχνης ἐφάμιλλον προσέθηκεν, ὥστ' εἶναι πᾶσαν ἀντ' ἀναθήματος, μᾶλλον δὲ ἀντ' ἀγάλματος. ARISTIDES *13* p. 241 D.

Πολέμων ὁ περιηγητὴς τέσσαρα βιβλία συνέγραψε περὶ τῶν ἀναθημάτων τῶν ἐν τῇ ἀκροπόλει.
STRABO *9* p. 396.

Ἡλιόδωρος ὁ Ἀθηναῖος ἐν τοῖς περὶ ἀκροπόλεως, πεντεκαίδεκα δ' ἐστὶ ταῦτα βιβλία.
ATHENAEVS *6*, 16 p. 229 E.

Heliodorus qui de Atheniensium anathematis scripsit.
PLINIVS in indicibus auctorum l. *34* et *35*.

Τοῦ Διονύσου δέ ἐστι πρὸς τῷ θεάτρῳ τὸ ἀρχαιότατον ἱερόν. δύο δέ εἰσιν ἐντὸς **I, 20, 3**
τοῦ περιβόλου ναοὶ καὶ Διόνυσοι, ὅ τε Ἐλευθερεὺς καὶ ὃν Ἀλκαμένης ἐποίησεν ἐλέφαντος καὶ χρυσοῦ.

1 Διονύσου ἱερόν (tab. XXX seq.)] CIA. II, 307, 22. 420, 18 ἀναγράψαι δὲ τόδε τὸ ψήφισμα .... καὶ στῆσαι ἐν τῷ τεμένει τοῦ Διονύσου. || CIA. II, 741 et passim Διονύσια τὰ ἐν ἄστει (mense Elaphebolione). || VITRVVIVS *5*, 9, 1 *post scaenam porticus sunt constituendae .... uti sunt .. Athenis porticus Eumeniae Patrisque Liberi fanum et exeuntibus e theatro sinistra parte Odeum ....* || ANDOCIDES *1*, 38 ἐπεὶ παρὰ τὸ προπύλαιον τοῦ Διονύσου ἦν (Dioclides), ὁρᾶν ἀνθρώπους πολλοὺς ἀπὸ τοῦ Ὠιδείου καταβαίνοντας εἰς τὴν ὀρχήστραν ... || MARINVS u. Procli 29 ἁρμοδιωτάτη αὐτῷ ἡ οἴκησις ὑπῆρξεν, ἣν καὶ ὁ πατὴρ .. καὶ ὁ προπάτωρ .. ᾤκησαν, γείτονα μὲν οὖσαν τοῦ ἀπὸ Σοφοκλέους ἐπιφανοῦς Ἀσκληπιείου καὶ τοῦ πρὸς τῷ θεάτρῳ Διονυσίου, ὁρωμένην δὲ ἢ καὶ ἄλλως αἰσθητὴν γιγνομένην τῇ ἀκροπόλει τῆς Ἀθηνᾶς.

1* τὸ ἐν Λίμναις Διονύσιον] ISAEVS *8*, 35 Κίρων ἐκέκτητο ... οἰκίας ἐν ἄστει δύο, τὴν μὲν μίαν μισθοφοροῦσαν παρὰ τὸ ἐν Λίμναις Διονύσιον ... || THVCYDIDES *2*, 15 (AA 2) πρὸς τοῦτο τὸ μέρος τῆς πόλεως (i. e. τὸ ὑπὸ τὴν ἀκρόπολιν πρὸς νότον μάλιστα τετραμμένον) μᾶλλον ἵδρυται ... τὸ ἐν Λίμναις Διονύσου, ᾧ τὰ ἀρχαιότερα Διονύσια τῇ δωδεκάτῃ ποιεῖται ἐν μηνὶ Ἀνθεστηριῶνι. || ATHENAEVS *10*, p. 437ᵈ τὸ ἐν Λίμναις τέμενος. || [DEMOSTHENES] *59*, 76 τοῦτον τὸν νόμον γράψαντες ἐν στήλῃ λιθίνῃ ἔστησαν ἐν τῷ ἱερῷ τοῦ Διονύσου παρὰ τὸν βωμὸν ἐν Λίμναις ... καὶ διὰ ταῦτα ἐν τῷ ἀρχαιοτάτῳ ἱερῷ τοῦ Διονύσου καὶ ἁγιωτάτῳ ἐν Λίμναις ἔστησαν, ἵνα μὴ πολλοὶ εἰδῶσι τὰ γεγραμμένα· ἅπαξ γὰρ τοῦ ἐνιαυτοῦ ἑκάστου ἀνοίγεται, τῇ δωδεκάτῃ τοῦ Ἀνθεστηριῶνος μηνός. || ATHENAEVS *11*, p. 465ᵃ Φανόδημος πρὸς τῷ ἱερῷ φησι τοῦ ἐν Λίμναις Διονύσου τὸ γλεῦκος φέροντας τοὺς Ἀθηναίους ἐκ τῶν πίθων τῷ θεῷ κιρνάναι, εἶτ' αὐτοὺς προσφέρεσθαι· ὅθεν καὶ Λιμναῖον κληθῆναι τὸν Διό-

(20) Γραφαὶ δὲ αὐτόθι Διόνυσός ἐστιν ἀνάγων Ἥφαιστον ἐς οὐρανόν. λέγεται δὲ καὶ τάδε ὑπὸ Ἑλλήνων, ὡς Ἥρα ῥίψαι γενόμενον Ἥφαιστον, ὃ δέ οἱ μνησικακῶν πέμψαι δῶρον χρυσοῦν θρόνον ἀφανεῖς δεσμοὺς ἔχοντα· καὶ τὴν μὲν ἐπεί τε ἐκαθέζετο δεδέσθαι, θεῶν δὲ τῶν μὲν ἄλλων οὐδενὶ τὸν Ἥφαιστον ἐθέλειν πείθεσθαι, Διόνυσος δέ (μάλιστα γὰρ ἐς τοῦτον πιστὰ ἦν Ἡφαίστῳ) μεθύσας αὐτὸν ἐς οὐρανὸν ἀνήγαγε. ταῦτά τε δὴ γεγραμμένα εἰσὶ καὶ Πενθεὺς καὶ Λυκοῦργος ὧν ἐς Διόνυσον ὕβρισαν διδόντες δίκας, Ἀριάδνη δὲ καθεύδουσα καὶ Θησεὺς ἀναγόμενος καὶ Διόνυσος ἥκων ἐς τῆς Ἀριάδνης τὴν ἁρπαγήν.

4 Ἔστι δὲ πλησίον τοῦ τε ἱεροῦ τοῦ Διονύσου καὶ τοῦ θεάτρου κατασκεύασμα, ποιηθῆναι δὲ τῆς σκηνῆς αὐτὸ ἐς μίμησιν τῆς Ξέρξου λέγεται. ἐποιήθη δὲ καὶ δεύτερον· τὸ γὰρ

8 ἀνήγαγε Herwerden Mnemosynes XV p. 51: ἤγαγε codices | ἐστὶ Schubart praef. p. VII

νυσον (Callimachus fr. 66a). || HESYCHIVS Λίμναι· ἐν Ἀθήναις τόπος ἀνειμένος Διονύσῳ (cf. HARPOCR. ἐν Λίμναις Διονύσιον. STEPH. BYZ. Λίμναι), ὅπου τὰ Λήναια ἤγετο. || ARISTOPHANES ran. (actae Lenaeis a. 405) 213 ἀοιδάν . . Ἣν ἀμφὶ Νυσήιον Διὸς Διώνυσον ἐν Λίμναισιν ἰαχήσαμεν, Ἡνίχ' ὁ κραιπαλόκωμος Τοῖς ἱεροῖσι Χύτροισι Χωρεῖ κατ' ἐμὸν τέμενος λαῶν ὄχλος. | SCHOL. 216 Λίμνη· τόπος ἱερὸς Διονύσου, ἐν ᾧ καὶ οἶκος καὶ νεὼς τοῦ θεοῦ.

1** Λήναιον] HESYCHIVS ἐπὶ Ληναίῳ ἀγών· ἔστιν ἐν τῷ ἄστει Λήναιον περίβολον ἔχον μέγαν καὶ ἐν αὐτῷ Ληναίου Διονύσου ἱερόν, ἐν ᾧ ἐπετελοῦντο οἱ ἀγῶνες Ἀθηναίων πρὶν τὸ θέατρον οἰκοδομηθῆναι. (similiter PHOTIVS Λήναιον· περίβολος μέγας Ἀθήνησιν κ. τ. λ. ETYMOL. M. ἐπὶ Ληναίῳ· περίβολός τις μέγας Ἀθήνησιν κ. τ. λ. ANECDOTA Bekkeri p. 278, 8: Λήναιον· ἱερὸν Διονύσου κ. τ. λ.) || SCHOL. ARISTOPH. Acharn. 202 ἄξω τὰ κατ' ἀγροὺς εἰσιὼν Διονύσια] τὰ Λήναια λεγόμενα, ἔνθεν τὰ Λήναια καὶ ὁ ἐπιλήναιος ἀγὼν τελεῖται τῷ Διονύσῳ· Λήναιον γὰρ ἐστιν ἐν ἀγροῖς ἱερὸν τοῦ Διονύσου κ. τ. λ. STEPHANVS BYZ. Λήναιος· ἀγὼν Διονύσου ἐν ἀγροῖς. | SCHOL. ARISTOPH. Acharn. 504 ὁ τῶν Διονυσίων ἀγὼν ἐτελεῖτο δὶς τοῦ ἔτους, τὸ μὲν πρῶτον ἔαρος ἐν ἄστει . . ., τὸ δὲ δεύτερον ἐν ἀγροῖς, ὁ ἐπὶ Ληναίῳ λεγόμενος. || ANONYMVS περὶ κωμῳδίας 3 τὸ˜ τοῖς εὐδοκιμοῦσιν ἐπὶ τῷ Ληναίῳ γλεῦκος δίδοσθαι (cf. ad 1*). || CIA. II, 741 et passim. ARISTOTELES de re p. Ath. 57 Διονύσια τὰ ἐπὶ Ληναίῳ uel ἐπιλήναια (mense Gamelione).

2 ναός] CLEMENS ALEX. protr. 4, 53 Ἀθήνησι (τὸ πῦρ) τοῦ Διονύσου τοῦ Ἐλευθερέως κατήρειψε τὸν νεών.

2* Διόνυσος Ἐλευθερεύς] PAVSANIAS 1, 38, 3 ἐν τούτῳ τῷ πεδίῳ (Eleutherensium) ναός ἐστι Διονύσου, καὶ τὸ ξόανον ἐντεῦθεν ἐκομίσθη τὸ ἀρχαῖον· τὸ δὲ ἐν Ἐλευθεραῖς ἐφ' ἡμῶν ἐς μίμησιν ἐκείνου πεποίηται. || CIA. III, 240 (AE 2) in sella theatri ἱερέως Διονύσου Ἐλευθερέως. || CIA. III, 158 in epistylio reperto in theatro [Διονύσωι Ἐλ]ευθερεῖ καὶ [Νέρωνι Κλ]αυδίωι Καίσαρι Σε[βαστῶι Γερμανικῶι κ.τ.λ.

PAVSANIAS 1, 29, 2 ναὸς οὐ μέγας ἐστίν (prope Academiam), ἐς ὃν τοῦ Διονύσου τοῦ Ἐλευθερέως τὸ ἄγαλμα ἀνὰ πᾶν ἔτος κομίζουσιν ἐν τεταγμέναις ἡμέραις. | PHILOSTRATVS u. sophist. 2, 1, 3 ὁπότε ἥκοι Διονύσια καὶ κατίοι ἐς Ἀκαδημίαν τὸ τοῦ Διονύσου ἕδος, ἐν Κεραμεικῷ ποτίζων (Herodes) ἀστοὺς ὁμοίως καὶ ξένους κατακειμένους ἐπὶ στιβάδων κιττοῦ. || CIA. II, 471, 12 εἰσήγαγον (οἱ ἔφηβοι) τὸν Διόνυσον ἀπὸ τῆς ἐσχάρας εἰς τὸ θέατρον μετὰ φωτὸς καὶ ἔπεμψαν τοῖς Διονυσίοις ταῦρον ἄξιον τοῦ θεοῦ, ὃν καὶ ἔθυσαν ἐν τῶι ἱερῶι τῆι πομπῆι. | CIA. II, 470, 11 εἰσήγαγον τὸν Διόνυσον ἀπὸ τῆς ἐσχάρας θύσαντες τῶι θεῶι. | DIO CHRYSOST. 31 p. 631 R. τὸν Διόνυσον ἐπὶ τὴν ὀρχήστραν τιθέασιν. | ALCIPHRO 2, 1, 16 ἐμοὶ (Menandro) γένοιτο τὸν Ἀττικὸν ἀεὶ στέφεσθαι κισσὸν καὶ τὸν ἐπ' (ἀπ'?) ἐσχάρας ὑμνῆσαι κατ' ἔτος Διόνυσον. 2**

Ἀλκαμένης] cf. tab. XXXV, 25. 26. 2***

Ὠιδεῖον] CIA. IV, 2, 843 d τὸ Ὠιδεῖον. || ANDOCIDES 1, 38 ἀπὸ τοῦ Ὠιδείου καταβαίνοντας (ad c. 20, 1). || LYCVRGVS fr. 58 Bl. Περικλῆς ὁ . . τὸ Ὠιδεῖον . . οἰκοδομήσας (cf. ad c. 24, 31*). || PLVTARCHVS Per. 13 (AA 85) τὸ Ὠιδεῖον, τῇ μὲν ἐντὸς διαθέσει πολύεδρον καὶ πολύστυλον, τῇ δ' ἐρέψει περικλινὲς καὶ κάταντες ἐκ μιᾶς κορυφῆς πεποιημένον, εἰκόνα λέγουσι γενέσθαι καὶ μίμημα τῆς βασιλέως σκηνῆς, ἐπιστατοῦντος καὶ τούτῳ Περικλέους. διὸ καὶ πάλιν Κρατῖνος ἐν Θρᾴτταις παίζει πρὸς αὐτόν· Ὁ σχινοκέφαλος Ζεὺς ὁδὶ προσέρχεται, Ὁ Περικλέης τῴδεῖον ἐπὶ τοῦ κρανίου Ἔχων, ἐπειδὴ τοὔστρακον παροίχεται (a. 444) . . . ἐθεῶντο δὲ καὶ τότε (primum a. 446: AA 87) καὶ τὸν ἄλλον χρόνον ἐν Ὠιδείῳ τοὺς μουσικοὺς ἀγῶνας. || ANECDOTA Bekkeri p. 317, 31 Ὠιδεῖον· θέατρον Ἀθήνησιν, ὃ πεποίηκε Περικλῆς εἰς τὸ ἐπιδείκνυσθαι τοὺς μουσικούς· ἐν ᾧ καὶ δικαστήριον ἦν σίτου· καὶ ἄλφιτα διεμετρεῖτο ἐκεῖ. || SCHOL. ARISTOPH. uesp. 1109 ἐστὶ τόπος θεατροειδής, ἐν ᾧ εἰώθασι τὰ ποιήματα ἀπαγγέλλειν πρὶν τῆς εἰς τὸ θέατρον ἀπαγγελίας. || SCHOL. AESCHIN. 3, 67 ἐγίγνοντο πρὸ τῶν μεγάλων Διονυσίων ἡμέραις ὀλίγαις ἔμπροσθεν ἐν τῷ Ὠιδείῳ καλουμένῳ τῶν τραγῳδῶν

ἀρχαῖον στρατηγὸς Ῥωμαίων ἐνέπρησε Σύλλας Ἀθήνας ἑλών. αἰτία δὲ ἥδε τοῦ πολέμου. Μιθρι- (20)
δάτης ἐβασίλευσε βαρβάρων τῶν περὶ τὸν Πόντον τὸν Εὔξεινον. πρόφασις μὲν δὴ δι' ἥντινα Ῥωμαίοις ἐπολέμησε καὶ ὃν τρόπον ἐς τὴν Ἀσίαν διέβη καὶ ὅσας ἢ πολέμῳ βιασάμενος πόλεις ἔσχεν ἢ φίλας ἐποιήσατο, τάδε μὲν τοῖς ἐπίστασαι τὰ Μιθριδάτου θέλουσι μελέτω· ἐγὼ δὲ ὅσον ἐς τὴν ἅλωσιν τὴν Ἀθηναίων ἔχει δηλώσω. ἦν Ἀριστίων Ἀθηναῖος, ᾧ Μιθριδάτης πρεσβεύειν 5
ἐς τὰς πόλεις τὰς Ἑλληνίδας ἐχρῆτο· οὗτος ἀνέπεισεν Ἀθηναίους Μιθριδάτην θέσθαι Ῥωμαίων ἐπίπροσθεν. ἀνέπεισε δὲ οὐ πάντας, ἀλλ' ὅσον δῆμος ἦν καὶ δήμου τὸ ταραχῶδες· Ἀθηναῖοι δὲ ὧν τις λόγος παρὰ τοὺς Ῥωμαίους ἐκπίπτουσιν ἐθελονταί. γενομένης δὲ μάχης πολλῷ περιῆσαν οἱ Ῥωμαῖοι, καὶ φεύγοντας Ἀριστίωνα μὲν καὶ Ἀθηναίους ἐς τὸ ἄστυ καταδιώκουσιν, Ἀρχέλαον δὲ καὶ τοὺς βαρβάρους ἐς τὸν Πειραιᾶ· Μιθριδάτου δὲ στρατηγὸς καὶ οὗτος ἦν, ὃν πρότερον τούτων Μάγνητες οἱ τὸν Σίπυλον οἰκοῦντες σφᾶς ἐπεκδραμόντα αὐτόν τε τιτρώσκουσι καὶ τῶν βαρβάρων φονεύουσι τοὺς πολλούς. Ἀθηναίοις μὲν δὴ πολιορκία καθειστήκει, Ταξίλος δὲ Μιθρι- 6
δάτου στρατηγὸς ἐτύγχανε μὲν περικαθήμενος Ἐλάτειαν τὴν ἐν τῇ Φωκίδι, ἀφικομένων δὲ ἀγγέλων ἀναστήσας τὸν στρατὸν ἐς τὴν Ἀττικὴν ἦγεν. ἃ πυνθανόμενος ὁ στρατηγὸς τῶν Ῥωμαίων Ἀθήνας μὲν τοῦ στρατοῦ μέρει πολιορκεῖν ἀφῆκεν, αὐτὸς δὲ Ταξίλῳ τὸ πολὺ τῆς δυνάμεως ἔχων ἐς Βοιωτοὺς ἀπαντᾷ. τρίτῃ δὲ ὕστερον ἡμέρᾳ τοῖς Ῥωμαίοις ἦλθον ἐπ' ἀμφότερα τὰ στρατόπεδα ἄγγελοι, Σύλλᾳ μὲν ὡς Ἀθηναίοις εἴη ⟨τὸ⟩ τεῖχος ἑαλωκός, τοῖς δὲ Ἀθήνας πολιορκήσασι Ταξίλον κεκρατῆσθαι μάχῃ περὶ Χαιρώνειαν. Σύλλας δὲ ὡς ἐς τὴν Ἀττικὴν ἐπανῆλθε, τοὺς ἐναντιωθέντας Ἀθηναίων καθείρξας ἐς τὸν Κεραμεικὸν τὸν λαχόντα σφῶν ἐκ δεκάδος ἑκάστης ἐκέλευσεν ἄγεσθαι τὴν ἐπὶ θανάτῳ. Σύλλου δὲ οὐκ ἀνιέντος ἐς Ἀθηναίους τοῦ θυμοῦ λαθόντες 7
ἐκδιδράσκουσιν ἄνδρες ἐς Δελφούς· ἐρομένοις δέ σφισιν εἰ καταλαμβάνοι τὸ χρεὼν ἤδη καὶ τὰς Ἀθήνας ἐρημωθῆναι, τούτοις ἔχρησεν ἡ Πυθία τὰ ἐς τὸν ἀσκὸν ἔχοντα. Σύλλα δὲ ὕστερον τούτων ἐνέπεσεν ἡ νόσος ᾗ καὶ τὸν Σύριον Φερεκύδην ἁλῶναι πυνθάνομαι. Σύλλᾳ δὲ ἔστι μὲν καὶ τὰ ἐς τοὺς πολλοὺς Ἀθηναίων ἀγριώτερα ἢ ὡς ἄνδρα εἰκὸς ἦν ἐργάσασθαι Ῥωμαῖον· ἀλλὰ γὰρ οὐ ταῦτα δὴ αἰτίαν γενέσθαι οἱ δοκῶ τῆς συμφορᾶς, Ἱκεσίου δὲ μήνιμα, ὅτι καταφυγόντα ἐς τὸ τῆς Ἀθηνᾶς ἱερὸν ἀπέκτεινεν ἀποσπάσας Ἀριστίωνα. Ἀθῆναι μὲν οὕτως ὑπὸ τοῦ πολέμου κακωθεῖσαι τοῦ Ῥωμαίων αὖθις Ἀδριανοῦ βασιλεύοντος ἤνθησαν.

Εἰσὶ δὲ Ἀθηναίοις εἰκόνες ἐν τῷ θεάτρῳ καὶ τραγῳδίας καὶ κωμῳδίας ποιητῶν, αἱ 21
πολλαὶ τῶν ἀφανεστέρων· ὅτι γὰρ μὴ Μένανδρος, οὐδεὶς ἦν ποιητὴς κωμῳδίας τῶν ἐς δόξαν

16 Ἀθηνῶν Schleiermacher | 22 ἐπεκδραμόντας uel ἐπεκδραμόντες codices, corr. Loescherus | 28 τὸ ins. Bekker || 2 γὰρ μὴ Siebelis: μὲν γὰρ uel μὴ μὲν γὰρ uel μὴ γὰρ codices

ἀγὼν καὶ ἐπίδειξις ὧν μέλλουσιν δραμάτων ἀγωνίζεσθαι ἐν τῷ θεάτρῳ. || HESYCHIVS Ὠιδεῖον· τόπος ἐν ᾧ πρὶν τὸ θέατρον κατασκευασθῆναι οἱ ῥαψῳδοὶ καὶ οἱ κιθαρῳδοὶ ἠγωνίζοντο. || HERACLIDES de urbibus Gr. *1*, 1 Ὠιδεῖον τῶν ἐν τῇ οἰκουμένῃ κάλλιστον. || THEOPHRASTVS char. 3 (ὁ ἀδολέσχης ἐρωτᾷ) πόσοι εἰσί κίονες τοῦ Ὠιδείου; || HYPERIDES fr. 121 Bl. ᾠκοδόμησε (Lycurgus) τὸ θέατρον, τὸ Ὠιδεῖον (στάδιον Wachsmuth, *Stadt Athen* I p. 602 [1]). || VITRVVIVS 5, 9, 1 (cf. ad c. 20, 1) *Odeum, quod Themistocles columnis lapideis dispositis nauium malis et antemnis e spoliis Persicis pertexit, idem autem etiam incensum Mithridatico bello rex Ariobarzanes* (II) *restituit*.

11 δεύτερον] VITRVVIVS *5*, 9, 1 (uide ad u. 10). || CIA. III, 541 . . οἱ κατασταθέντες ὑπ' αὐτοῦ (Ἀριοβαρζάνου) ἐπὶ τὴν τοῦ Ὠιδείου κατασκευὴν Γάιος καὶ Μᾶρκος Στάλλιοι Γαΐου υἱοὶ καὶ Μενάλιππος (AA 217).

12 Σύλλας] APPIANVS Mithr. 38 (AA 215) Ἀριστίων . . ἐμπρήσας τὸ Ὠιδεῖον, ἵνα μὴ ἑτοίμοις ξύλοις αὐτίκα ὁ Σύλλας ἔχοι τὴν ἀκρόπολιν ἐνοχλεῖν.

ἀσκόν] PLVTARCHVS Thes. 24 ἧκεν αὐτῷ 33
χρησμὸς ἐκ Δελφῶν μαντευομένῳ περὶ τῆς πόλεως· . . . „ἀσκὸς γὰρ ἐν οἴδματι ποντοπορεύσῃ". τοῦτο δὲ καὶ Σιβύλλαν ὕστερον ἀποστοματίσαι πρὸς τὴν πόλιν ἱστοροῦσιν ἀναφθεγξαμένην· Ἀσκὸς βαπτίζῃ, δῦναι δέ τοι οὐ θέμις ἐστίν.

Ἱκεσίου μήνιμα] PAVSANIAS *9*, 33, 6 Σύλλα 36
ἔστι μὲν καὶ τὰ ἐς Ἀθηναίους ἀνήμερα καὶ ἤθους ἀλλότρια τοῦ Ῥωμαίων, ἐοικότα δὲ τούτοις καὶ τὰ ἐς Θηβαίους τε καὶ Ὀρχομενίους· προσεξειργάσατο δὲ καὶ ἐν ταῖς Ἀλαλκομεναῖς, τῆς Ἀθηνᾶς τὸ ἄγαλμα αὐτὸ συλήσας. τοῦτον μὲν τοιαῦτα ἔς τε Ἑλληνίδας πόλεις καὶ θεοὺς τοὺς Ἑλλήνων ἐκμανέντα ἐπέλαβεν ἀχαριστοτάτη νόσος πασῶν· φθειρῶν γὰρ ἤνθησεν κ. τ. λ.

τὸ θέατρον τὸ Διονυσιακόν (tab. XXX 1
seq.)] HERACLIDES *1*, 1 θέατρον ἀξιόλογον, μέγα καὶ θαυμαστόν. || PHOTIVS ἴκρια· τὰ ἐν τῇ ἀγορᾷ, ἀφ' ὧν ἐθεῶντο τοὺς Διονυσιακοὺς ἀγῶνας πρὶν ἢ κατασκευασθῆναι τὸ ἐν Διονύσου θέατρον. (similiter HESY-

(21) ἡκόντων. τραγῳδίας δὲ κεῖνται τῶν φανερῶν Εὐριπίδης καὶ Σοφοκλῆς. λέγεται δὲ Σοφοκλέους τελευτήσαντος ἐσβαλεῖν ἐς τὴν Ἀττικὴν Λακεδαιμονίους, καὶ σφῶν τὸν ἡγούμενον ἰδεῖν ἐπιστάντα οἱ Διόνυσον κελεύειν τιμαῖς, ὅσαι καθεστήκασιν ἐπὶ τοῖς τεθνεῶσι, τὴν Σειρῆνα τὴν νέαν τιμᾶν· καί οἱ τὸ ὄναρ ⟨ἐς⟩ Σοφοκλέα καὶ τὴν Σοφοκλέους ποίησιν ἐφαίνετο ἔχειν. εἰώθασι δὲ καὶ νῦν ἔτι

3 Σοφοκλῆς ⟨καὶ Αἰσχύλος⟩ Hitzig | 6 ἐς ins. Kuhn

CHIVS ἴκρια. EVSTATHIVS ad Hom. γ 350.) || ANECDOTA Bekkeri p. 354, 25 αἰγείρου θέα καὶ "ἡ παρ' αἴγειρον θέα". Ἀθήνησιν αἴγειρος ἦν, ἧς πλησίον τὰ ἴκρια ἐπήγνυντο εἰς τὴν θέαν πρὸ τοῦ θέατρον γενέσθαι. οὕτω Κρατῖνος. || HESYCHIVS αἰγείρου θέα· αἴγειρος ἦν Ἀθήνησι πλησίον τοῦ ἱεροῦ (χωρίου Toupius), ἔνθα πρὶν γενέσθαι θέατρον τὰ ἴκρια ἐπήγνυον. (SVIDAS.) || HESYCHIVS παρ' αἰγείρου θέα. Ἐρατοσθένης φησί, ὅτι πλησίον αἰγείρου τινὸς θέα . . ἐγγὺς τῶν ἰκρίων. ἕως οὖν τούτου τοῦ φυτοῦ ἐξετείνετο καὶ κατεσκευάζετο τὰ ἴκρια, ἅ ἐστιν ὀρθὰ ξύλα ἔχοντα σανίδας προσδεδεμένας οἷον βαθμούς, ἐφ' αἷς ἐκαθέζοντο πρὸ τοῦ κατασκευασθῆναι τὸ θέατρον. || HESYCHIVS θέα παρ' αἰγείρῳ· τόπος αἴγειρον ἔχων, ὅθεν ἐθεώρουν. εὐτελὴς δὲ ἐδόκει ἡ ἐντεῦθεν θεωρία· μακρόθεν γὰρ ἦν καὶ εὐώνου ὁ τόπος ἐπωλεῖτο. || SVIDAS ἀπ' αἰγείρου θέα καὶ "ἐπ' αἴγειρον". ἡ ἀπὸ τῶν ἐσχάτων· αἴγειρος γὰρ ἐπάνω ἦν τοῦ θεάτρου, ἀφ' ἧς οἱ μὴ ἔχοντες τόπον ἐθεώρουν. || SVIDAS Πρατίνας· . . ἀντηγωνίζετο δὲ Αἰσχύλῳ τε καὶ Χοιρίλῳ ἐπὶ τῆς ἑβδομηκοστῆς Ὀλυμπιάδος (499/96), καὶ πρῶτος ἔγραψε Σατύρους. ἐπιδεικνυμένου δὲ τούτου συνέβη τὰ ἴκρια, ἐφ' ὧν ἑστήκεσαν οἱ θεαταί, πεσεῖν· καὶ ἐκ τούτου θέατρον ᾠκοδομήθη Ἀθηναίοις.

1* Lycurgus] VITAE X ORATORVM p. 841c τὸ ἐν Διονύσου θέατρον ἐπιστατῶν ἐπετέλεσεν. | p. 852c populiscitum anno 306 a Stratocle rogatum (cf. AA 182) ἡμίεργα παραλαβὼν τούς τε νεωσοίκους καὶ τὴν σκευοθήκην καὶ τὸ θέατρον τὸ Διονυσιακὸν ἐξειργάσατο καὶ ἐπετέλεσε. | CIA. II, 240, b, 5 (eiusdem decreti fragmentum) τὴν δὲ σ[κευοθήκην καὶ τὸ θέατρον τὸ] Διονυσιακὸν ἐξήργασα[το]. || HYPERIDES fr. 121 ᾠκοδόμησε τὸ θέατρον. || PAVSANIAS *1*, 29, 16 οἰκοδομήματα ἐπετέλεσε μὲν τὸ θέατρον ἑτέρων ὑπαρξαμένων.

1** DIO CHRYSOSTOMVS *31*, p. 631 R. Ἀθηναῖοι ἐν τῷ θεάτρῳ θεῶνται τὴν καλὴν ταύτην θέαν (τὰ περὶ τοὺς μονομάχους) ὑπ' αὐτὴν τὴν ἀκρόπολιν, οὗ τὸν Διόνυσον ἐπὶ τὴν ὀρχήστραν τιθέασιν (cf. ad c. 20, 2**)· ὥστε πολλάκις ἐν αὐτοῖς τινα σφάττεσθαι τοῖς θρόνοις, οὗ τὸν ἱεροφάντην καὶ τοὺς ἄλλους ἱερεῖς ἀνάγκη καθίζειν. || PHILOSTRATVS uit. Apollon. Tyan. *4*, 22 οἱ Ἀθηναῖοι ξυνιόντες ἐς θέατρον τὸ ὑπὸ τῇ ἀκροπόλει προσεῖχον σφαγαῖς ἀνθρώπων. || TITVLOS sellarum theatri uide AE 2. || PLATO symp. 4 p. 175e (ἡ Ἀγάθωνος σοφία) σφόδρα ἐξέλαμψεν καὶ ἐκφανὴς ἐγένετο πρῴην ἐν μάρτυσι τῶν Ἑλλήνων πλέον ἢ τρισμυρίοις. || PLVTARCHVS Demetr. 34 (Demetrius) κελεύσας εἰς τὸ θέατρον ἀθροισθῆναι πάντας ὅπλοις μὲν συνέφραξε τὴν σκηνὴν καὶ δορυφόροις τὸ λογεῖον περιέλαβεν, αὐτὸς δὲ καταβὰς ὥσπερ οἱ τραγῳδοὶ διὰ τῶν ἄνω παρόδων κ. τ. λ. || CIA. III, 239 in summo gradu scalarum quibus ex orchestra ad proscaenium ascendebatur: Σοὶ τόδε καλὸν ἔτευξε, φιλόργιε, βῆμα θεήτρου Φαῖδρος Ζωίλου, βιοδώτορος Ἀτθίδος ἀρχός.

ποιηταὶ ἀφανέστεροι] DIO CHRYSOST. *31* p. 628 R. τὸν δεῖνα τὸν εὐχερῆ λίαν ποιητὴν . . οὐ μόνον χαλκοῦν ἑστάκασιν (Athenienses), ἀλλὰ καὶ παρὰ Μένανδρον. || ZENOBIVS *5*, 100 σαυτὴν ἐπαινεῖς· . . Ἀστυδάμας ὁ Μορσίμου εὐημερήσας ἐν τῇ ὑποκρίσει Παρθενοπαίου ἐψηφίσθη εἰκόνος ἐν τῷ θεάτρῳ ἀξιωθῆναι. (SVIDAS.) | DIOGENES LAERTIVS *2*, 5, 43 Ἀστυδάμαντα πρότερον τῶν περὶ Αἰσχύλον ἐτίμησαν (Athenienses) εἰκόνι χαλκῇ. || ATHENAEVS *1* p. 19e Ἀθηναῖοι καὶ Εὐρυκλείδην ἐν τῷ θεάτρῳ ἀνέστησαν μετὰ τῶν περὶ Αἰσχύλον. || cf. AE 1. 2

Μένανδρος] CIA. II, 1370 basis rep. in theatro Μένανδρος. | Κηφισόδοτος Τίμαρχος ἐπόησαν. 2*

τραγικοὶ] VITAE X ORATORVM p. 841f εἰσήνεγκε καὶ νόμους (Lycurgus) . . . τὸν δὲ ὡς χαλκᾶς εἰκόνας ἀναθεῖναι τῶν ποιητῶν Αἰσχύλου Σοφοκλέους Εὐριπίδου. || HARPOCRATION θεωρικά· . . . Φιλῖνος ἐν τῇ πρὸς Σοφοκλέους καὶ Εὐριπίδου εἰκόνας. 3

Σοφοκλῆς] VITA SOPHOCLIS 15 φασὶν ὅτι καὶ τῷ μνήματι αὐτοῦ Σειρῆνα ἐπέστησαν, οἱ δὲ κηληδόνα χαλκῆν. καὶ τοῦτον τὸν τόπον ἐπιτετειχικότων Λακεδαιμονίων κατ' Ἀθηναίων Διόνυσος κατ' ὄναρ ἐπιστὰς Λυσάνδρῳ ἐκέλευσεν ἐπιτρέψαι τεθῆναι τὸν ἄνδρα εἰς τὸν τάφον· ὡς δ' ὠλιγώρησεν ὁ Λύσανδρος, δεύτερον αὐτῷ ἐπέστη ὁ Διόνυσος τὸ αὐτὸ κελεύων. ὁ δὲ Λύσανδρος πυνθανόμενος παρὰ τῶν φυγάδων, τίς εἴη ὁ τελευτήσας, καὶ μαθὼν ὅτι Σοφοκλῆς ὑπάρχει, κήρυκα πέμψας ἐδίδου θάπτειν τὸν ἄνδρα. || PLINIVS nat. hist. 7, 109 *Sophoclem . . defunctum sepelire Liber pater iussit obsidentibus moenia Lacedaemoniis, Lysandro eorum rege in quiete saepius admonito ut pateretur humari delicias suas. requisiuit rex, qui supremum diem Athenis obissent* (Michaelis: *obisset* libri), *nec difficulter ex his quem deus significasset intellexit pacemque funeri dedit.* 3*

ποιημάτων καὶ λόγων τὸ ἐπαγωγὸν Σειρῆνι εἰκάζειν. τὴν δὲ εἰκόνα τὴν Αἰσχύλου πολλῷ τι 2 **(21)**
ὕστερον τῆς τελευτῆς δοκῶ ποιηθῆναι καὶ τῆς γραφῆς ἣ τὸ ἔργον ἔχει τὸ Μαραθῶνι. ἔφη δὲ Αἰσχύλος μειράκιον ὢν καθεύδειν ἐν ἀγρῷ φυλάσσων σταφυλάς, καί οἱ Διόνυσον ἐπιστάντα κελεῦσαι τραγῳδίαν ποιεῖν· ὡς δὲ ἦν ἡμέρα, πείθεσθαι γὰρ ἐθέλειν, ῥᾷστα ἤδη πειρώμενος ποιεῖν. οὗτος μὲν ταῦτα ἔλεγεν.

Ἐπὶ δὲ τοῦ νοτίου καλουμένου τείχους, ὃ τῆς ἀκροπόλεως ἐς τὸ θέατρόν ἐστι τετραμ- 3
μένον, ἐπὶ τούτου Μεδούσης τῆς Γοργόνος ἐπίχρυσος ἀνάκειται κεφαλή, καὶ περὶ αὐτὴν αἰγὶς πεποίηται.

Ἐν δὲ τῇ κορυφῇ τοῦ θεάτρου σπήλαιόν ἐστιν ἐν ταῖς πέτραις ὑπὸ τὴν ἀκρόπολιν· τρίπους δὲ ἔπεστι καὶ τούτῳ. Ἀπόλλων δὲ ἐν αὐτῷ καὶ Ἄρτεμις τοὺς παῖδάς εἰσιν ἀναιροῦντες τοὺς Νιόβης. ταύτην τὴν Νιόβην καὶ αὐτὸς εἶδον ἀνελθὼν ἐς τὸν Σίπυλον τὸ ὄρος· ἣ δὲ πλη-

7 τι Schubart: τε codices | 8 καὶ libri deteriores: om. meliores ἐκ Schubart *Zeitschr. f. d. Alt.-Wiss.* 1840 p. 610 | 12 τῆς ἀκροπόλεως aut secludenda aut ante τοῦ νοτίου transponenda censet Hitzig | 15 ταῖς post πέτραις ins. Hitzig *Weitere Beiträge* p. 13

7 Αἰσχύλος] DIOG. LAERT. *2*, 5, 43 et ATHEN. *1* p. 19^c (cf. ad u. 2).

11 στρατηγοί] ARISTIDES *46* p. 215 D. Μιλτιάδην δὲ τὸν ἐν Μαραθῶνι ποῦ χοροῦ τάξομεν ἢ τάξιν τίνα; ἢ δῆλον ὅτι τὴν πρὸ τοῦ θεάτρου καὶ οὐ πᾶσιν ἐν καλῷ τῆς θέας ἔσται; πλὴν γ' ὅσον οὐκ ἀριστεροστάτης ἀνὴρ μᾶλλον ἢ τοῦ δεξιοῦ τοῖς Ἕλλησι κέρως. | SCHOL. III p. 535 δύο εἰσὶν ἀνδριάντες ἐν τῷ Ἀθήνησι θεάτρῳ, ὁ μὲν ἐκ δεξιῶν Θεμιστοκλέους, ὁ δ' ἐξ εὐωνύμων Μιλτιάδου, πλησίον δὲ αὐτῶν ἑκατέρου Πέρσης αἰχμάλωτος. || ANDOCIDES *1*, 38 (ad c. 20, 1), . . καταβαίνοντας εἰς τὴν ὀρχήστραν· δείσας δὲ αὐτούς, εἰσελθὼν ὑπὸ τὴν σκιὰν καθέζεσθαι μεταξὺ τοῦ κίονος καὶ τῆς στήλης ἐφ' ᾗ ὁ στρατηγός ἐστιν ὁ χαλκοῦς. || cf. AE 2, 464—469.

12 νότιον τεῖχος] PLVTARCHVS Cim. 13 πραθέντων τῶν αἰχμαλώτων λαφύρων (e uictoria ad Eurymedontem parta) εἴς τε τὰ ἄλλα χρήμασιν ὁ δῆμος ἐρρώσθη καὶ τῇ ἀκροπόλει τὸ νότιον τεῖχος κατεσκεύασεν ἀπ' ἐκείνης εὐπορήσας τῆς στρατείας. | IDEM comp. Cim. et Luc. 1 τῷ νοτίῳ τείχει τῆς ἀκροπόλεως, ὃ τοῖς ὑπὸ Κίμωνος κομισθεῖσιν ἐτελέσθη χρήμασιν. || CORNELIVS NEPOS Cim. 2 *his ex manubiis* (Thraciis, Persicis, Scyriis, Thasiis) *arx Athenarum qua ad meridiem uergit est ornata.* || PLVTARCHVS de glor. Ath. 7 (ad c. 22, 3) νότια τείχη. || cf. c. 25, 8. 28, 12.

13 Μεδούσης κεφαλή] PAVSANIAS 5, 12, 4 ἐν Ὀλυμπίᾳ παραπέτασμα ἐρεοῦν κεκοσμημένον ὑφάσμασιν Ἀσσυρίοις καὶ βαφῇ πορφύρας τῆς Φοινίκων ἀνέθηκεν Ἀντίοχος, οὗ δὴ καὶ ὑπὲρ τοῦ θεάτρου τοῦ Ἀθήνησιν ἡ αἰγὶς ἡ χρυσῆ καὶ ἐπ' αὐτῆς ἡ Γοργώ ἐστιν (ἐστιν Schubart et Walz: ἡ ἐς τὰ libri) ἀναθήματα. | fortasse huc spectat HELIODORI fragmentum apud Athenaeum *2*, 23 p. 45 C Ἡλιόδωρος δέ φησι τὸν Ἐπιφανῆ Ἀντίοχον . . τὴν κρήνην τὴν ἐν Ἀντιοχείᾳ κεράσαι οἴνῳ. || cf. ad c. 24, 49 et titulum huiusce libelli.

15 σπήλαιον] monumentum Thrasylli (tab. XXXI. XXXIII. AA 192. 208. 252. 312): CIA. II, 1247 in epistylio Θράσυλλος Θρασύλλου Δεκελεεὺς ἀνέθηκεν | χορηγῶν νικήσας ἀνδράσιν Ἱπποθωντίδι φυλῇ. | Εὔιος Χαλκιδεὺς ηὔλει. Νέαιχμος ἦρχεν (319). Καρκίδαμος Σώτιος ἐδίδασκεν. || CIA. 1292 in basi tripodis a sinistra ὁ δῆμος ἐχορήγει, Πυθάρατος ἦρχεν (270)· | ἀγωνοθέτης Θρασυκλῆς Θρασύλλου Δεκελεεύς. | Ἱπποθωντὶς παίδων ἐνίκα. | Θέων Θηβαῖος ηὔλει. | Πρόνομος Θηβαῖος ἐδίδασκεν. || 1293 a dextra ὁ δῆμος ἐχορήγει, Πυθάρατος ἦρχεν· | ἀγωνοθέτης Θρασυκλῆς Θρασύλλου Δεκελεεύς. | Πανδιονὶς ἀνδρῶν ἐνίκα. | Νικοκλῆς Ἀμβρακιώτης ηὔλει. | Λύσιππος Ἀρκὰς ἐδίδασκε.

15* κατατομή] HARPOCRATION κατατομή· Ὑπερείδης ἐν τῷ κατὰ Δημοσθένους “καὶ καθήμενος κάτω ὑπὸ τῇ κατατομῇ”. Φιλόχορος δὲ ἐν ς' οὕτως· “Αἰσχραῖος Ἀναγυράσιος ἀνέθηκε τὸν ὑπὲρ τοῦ θεάτρου τρίποδα καταργυρώσας, νενικηκὼς τῷ πρότερον ἔτει χορηγῶν παισί, καὶ ἐπέγραψεν ἐπὶ τὴν κατατομὴν τῆς πέτρας”. || POLLVX *4*, 123 μέρη θεάτρου . . κατατομή, κερκίδες κ. τ. λ. || cf. tab. XXXIII.

17 Νιόβη] HOMERVS Ω 614 Νῦν δέ που ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισιν, Ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς Νυμφάων, αἵ τ' ἀμφ' Ἀχελώιον ἐρρώσαντο, Ἔνθα λίθος περ ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει. || QVINTVS SMYRN. *1*, 293 ὑπαὶ Σιπύλῳ νιφόεντι, Ἧχι θεοὶ Νιόβην λᾶαν θέσαν, ἧς ἔτι δάκρυ (295) Πουλὺ μάλα στυφελῆς καταλείβεται ὑψόθι πέτρης, Καί οἱ συστοναχοῦσι ῥοαὶ πολυηχέος Ἕρμου Καὶ κορυφαὶ Σιπύλου περιμήκεες, ὧν καθύπερθεν Ἐχθρὴ μηλονόμοισιν ἀεὶ περιπέπτατ' ὁμίχλη· Ἡ δὲ πέλει μέγα θαῦμα παρεσσυμένοισι βροτοῖσιν, (300) Οὕνεκ'

(21) σίον μὲν πέτρα καὶ κρημνός ἐστιν οὐδὲν παρόντι σχῆμα παρεχόμενος γυναικός, οὔτε ἄλλως οὔτε πενθούσης· εἰ δέ γε πορρωτέρω γένοιο, δεδακρυμένην δόξεις ὁρᾶν καὶ κατηφῆ γυναῖκα.

4 Ἰόντων δὲ Ἀθήνησιν ἐς τὴν ἀκρόπολιν ἀπὸ τοῦ θεάτρου τέθαπται Κάλως. τοῦτον τὸν 20 Κάλων ἀδελφῆς παῖδα ὄντα καὶ τῆς τέχνης μαθητὴν φονεύσας Δαίδαλος ἐς Κρήτην ἔφυγε· χρόνῳ δὲ ὕστερον ἐς Σικελίαν ἐκδιδράσκει παρὰ Κώκαλον.

Τοῦ δὲ Ἀσκληπιοῦ τὸ ἱερὸν ἔς τε τὰ ἀγάλματά ἐστιν, ὁπόσα τοῦ θεοῦ πεποίηται καὶ τῶν παίδων, καὶ ἐς τὰς γραφὰς θέας ἄξιον.

20 Τάλως et 21 Τάλων Calderinus

ἔοικε γυναικὶ πολυστόνῳ, ἥ τ' ἐπὶ λυγρῷ Πένθεϊ μυρομένη μάλα μυρία δάκρυα χεύει. Καὶ τὸ μὲν ἀτρεκέως φῄς ἔμμεναι, ὁππότ' ἄρ' αὐτὴν Τηλόθεν ἀθρήσειας· ἐπὴν δέ οἱ ἐγγὺς ἵκηαι, Φαίνεται αἰπήεσσα πέτρη Σιπύλοιο τ' ἀπορρώξ. (305)· Ἀλλ' ἣ μὲν μακάρων ὀλοὸν χόλον ἐκτελέουσα Μύρεται ἐν πέτρῃσιν ἔτ' ἀχνυμένῃ εἰκυῖα. || PAVSANIAS *8*, 2, 7 καὶ Νιόβην λέγουσιν ἐν Σιπύλῳ τῷ ὄρει θέρους ὥρᾳ κλαίειν.

20 Κάλω τάφος] LVCIANVS piscat. 42 βαβαί, ὡς πλήρης μὲν ἡ ἄνοδος ὠθιζομένων, ἐπεὶ τὰς δύο μνᾶς ἤκουσαν μόνον. παρὰ δὲ τὸ Πελασγικὸν ἄλλοι, καὶ κατὰ τὸ Ἀσκληπιεῖον ἕτεροι, καὶ παρὰ τὸν Ἄρειον πάγον ἔτι πλείους, ἔνιοι δὲ καὶ κατὰ τὸν τοῦ Τάλω τάφον, οἳ δὲ καὶ πρὸς τὸ Ἀνακεῖον προσθέμενοι κλίμακας ἀνέρπουσι . . . μεστὴ δὲ ἡ ἀκρόπολις ἐν βραχεῖ κλαγγηδὸν προκαθιζόντων· | SCHOL. ὁ μὲν Τάλως ἥρως παλαιός, ἐν τῇ ἀκροπόλει τεθαμμένος.

20* Πέρδικος ἱερόν] PHOTIVS Πέρδικος ἱερόν· παρὰ τῇ ἀκροπόλει. Εὐπαλάμῳ γὰρ ἐγένοντο παῖδες Δαίδαλος καὶ Πέρδιξ, ἧς υἱὸς Κάλως· ᾧ φθονήσας ὁ Δαίδαλος τῆς τέχνης ἔρριψεν αὐτὸν κατὰ τῆς ἀκροπόλεως, ἐφ' ᾧ ἡ Πέρδιξ ἑαυτὴν ἀνήρτησεν, Ἀθηναῖοι δὲ αὐτὴν ἐτίμησαν. Σοφοκλῆς δὲ ἐν Καμικοῖς τὸν ὑπὸ Δαιδάλου ἀναιρεθέντα Πέρδ κα εἶναι τοὔνομα. (fr. 300 ὄρνιθος ἦλθ' ἐπώνυμος Πέρδικος ἐν κλεινοῖς Ἀθηναίων πάγοις.) (SVIDAS.)

23 Ἀσκληπιεῖον (cf. tab. XXXIII)] SCHOL. ARISTOPH. Plut. 621 εἰς Ἀσκληπιοῦ· τὸν ἐν ἄστει λέγει Ἀσκληπιόν· δύο γάρ εἰσιν, ὃ μὲν ἐν ἄστει, ὃ δὲ ἐν Πειραιεῖ. || CIA. II, 159*b*, 10. 840, 7 τὸ Ἀσκληπιεῖον τὸ ἐν ἄστει. | II, 477*b*, 5. 17 ὁ ἱερεὺς τοῦ Ἀσκληπιοῦ τοῦ ἐν ἄστει. || CIA. II, 836, 5. 26. 839, 3. LVCIANVS piscat. 42 (ad u. 20). DIOGENES LAERT. *4*, 5, 4. MARINVS uit. Procli 29 τὸ Ἀσκληπιεῖον. || CIA. II, 477*b*, 21 τὸ τοῦ Ἀσκληπιοῦ ἱερόν. || ARISTOPHANES Plut. 659 τὸ τέμενος τοῦ θεοῦ. || MARINVS uit. Procli 29 (ad c. 20, 1) (οἴκησιν) γείτονα οὖσαν τοῦ ἀπὸ Σοφοκλέους ἐπιφανοῦς Ἀσκληπιείου καὶ τοῦ πρὸς τῷ θεάτρῳ Διονυσίου. || CIA. II, 1649 (coll. A. Koerte, *Athen. Mitth.* 1893 p. 246 seqq. et Er. Preuner *Rhein. Mus.* XLIX p. 313 seq.) 3 ἀ]νελθὼν δὲ θο. | [Διονυσί]οις (?) τοῖς μεγά|[λοις . . .] ἤγετο ἐς τὸ Ἐλ|5[ευσίνιο]ν καὶ οἴκοθε[ν | μεταπεμ]ψάμενος δια[.|. . . . ἠγ]αγεν δεῦρε ἐφ.|. . . . . . . (ἐφέστιον ?) Τηλ[έ]μαχο[ς .] α[. | Ἀχαρνεὺ]ς (?). ἅμα ἦλθεν Ὑγ|10[ίεια, καὶ] οὕτως ἱδρύθη | [τό ἱερὸ]ν τόδε ἅπαν ἐπὶ | [Ἀστυφί]λο ἄρχοντος (420/19) κυ|. . . . . ρ.γας. ἐπὶ το|[ύτο οἱ κ]ή[ρ]υκες ἠμφεσβ|15[ήτησαν χ]ωρίο καὶ ἐνια|. . . . . αν ποῆσαι αν|--. *b* 4πὸ τõ ξυλοπ . . . .|5νδρος. ἐπὶ το[ύτο ἐπεσκ]|ευάσθη τὰ ξ[υλοπ . .]ια, κ|αὶ τὰ λοιπὰ [τῶν ἱ]ερῶν π|ροσιδρύσατο . . . όκρι|τος. ἐπὶ τού[το ἐφύτευσ]|10ε καὶ κατέστησε κοσμή|σας τὸ τέμενος ἅπαν τέ|λει τῷ ἑ[αυτ]õ Καλλίας | Σ[καμβωνίδης]. ἐπὶ τού|τ[ο] -- || CIA. II, 1650 [Τ]ηλέμαχος ἱδ[ρύσατο τὸ ἱ|ερ]ὸν καὶ τὸν βω[μὸν τῶι Ἀσ|σκλη]πιῶι πρῶ[τος καὶ . . .|. . . . τ]οῖς Ἀσσ[κληπιάδαι|5ς καὶ τ]αῖς Ἀσσ[κληπιõ θυγατράσιν. || CIA. III, 287 (AE 2) ἱερέως Ἀσκληπιοῦ. || CIA. III, 411 *a* [ὅρος] τοῦ Ἀσκληπιοῦ [τ]ο[ῦ σ]ωτῆ[ρος]. | 712*a*. Δελτ. 1889 p. 55 n. 14 τὸν ἱερέα τοῦ σωτῆρος Ἀσκληπιοῦ. | CIA. III, 132*k.m* Ἀσκληπιῶι σωτῆρι καὶ Ὑγείαι. || CIA. III, 132*l* θεῷ ὑψίστῳ. || CIA. II, 489*b*, 9. 1204. III, 102*a. b* ἱερεὺς Ἀσκληπιοῦ καὶ Ὑγιείας. | II, 453*b*, 5. 20. III, 65*a*. 68*a. b. e. f* cett. (p. 481—494). Ἀσκληπιῶι καὶ Ὑγιείαι siue Ὑγείαι. | 132*a* Ἀσκληπιῶι καὶ Ὑγιείαι καὶ Ὕπνωι. | 181*c* Ἀσκληπιῷ καὶ Ὑγείᾳ καὶ τοῖς ἄλλοις θεοῖς πᾶσι καὶ πάσαις. || MARINVS uit. Procli 29 ἀνήει εἰς τὸ Ἀσκληπιεῖον . . . καὶ γὰρ ηὐτύχει τούτου ἡ πόλις τότε καὶ εἶχεν ἔτι ἀπόρθητον τὸ τοῦ Σωτῆρος ἱερόν (AA 248).

23* ναοί] CIA. II, 453*b*, 21. 477*b*, 10. III, 238*a*, 8 ὁ ναός. | ARISTOPHANES Plut. 733. 741. CIA. II, 836, 13 (medio fere saec. III) ὁ νεώς. || CIA. II, 489*b* (AE 3, aetatis Augusteae), 29 ὁ ναός. 22 ὁ ἀρχαῖος (ναός). 13 ὁ ναὸς τοῦ ἀρχαίου ἀφιδρύματος τοῦ τε Ἀσκληπιοῦ καὶ τῆς Ὑγιείας. 17 ὁ ναὸς ὁ ἀπέναντι τῆς εἰσόδου. | 16 τὸ ἀρχαῖον πρόπυλον. 11 τὰ θυρώματα τῆς πρότερον οὔσης εἰς τὸ ἱερὸν εἰσόδου. | 16. 21 τοῦ προπύλου τὸ ὀπίσωι μέρος. 12. 25 ἡ ὀπίσωι τοῦ προπύλου στέγη. || CIA. III, 68*e* (p. 483, aet. Hadrian.) Ἀσκληπιῶι καὶ Ὑγείαι Δημήτριος Ἀντιόχου Σφήττιος ζακορεύσας τὸ ἔδαφος τοῦ προπυ-

Ἔστι δὲ ἐν αὐτῷ κρήνη, παρ' ᾗ λέγουσι Ποσειδῶνος παῖδα Ἁλιρρόθιον θυγατέρα **(21)**
Ἄρεως Ἀλκίππην αἰσχύναντα ἀποθανεῖν ὑπὸ Ἄρεως, καὶ δίκην ἐπὶ τούτῳ τῷ φόνῳ γενέσθαι
πρῶτον.

Ἐνταῦθα ἄλλα τε καὶ Σαυροματικὸς ἀνάκειται θώραξ· ἐς τοῦτόν τις ἰδὼν οὐδὲν 5
ἧσσον Ἑλλήνων τοὺς βαρβάρους φήσει σοφοὺς ἐς τὰς τέχνας εἶναι. Σαυρομάταις γὰρ οὔτε
αὐτοῖς σίδηρός ἐστιν ὀρυσσόμενος οὔτε σφίσιν ἐσάγουσιν· ἄμικτοι γὰρ μάλιστα τῶν ταύτῃ βαρ-
βάρων εἰσί. πρὸς οὖν τὴν ἀπορίαν ταύτην ἐξεύρηταί σφισιν· ἐπὶ μὲν τοῖς δόρασιν αἰχμὰς ὀστεΐνας
ἀντὶ σιδήρου φοροῦσι, τόξα τε κρανέινα καὶ ὀιστούς, καὶ ὀστεΐνας ἀκίδας ἐπὶ τοῖς ὀιστοῖς· καὶ
σειραῖς περιβαλόντες τῶν πολεμίων ὁπόσοις ἐπιτύχοιεν, τοὺς ἵππους ἀποστρέψαντες ἀνατρέπουσι
τοὺς ἐνσχεθέντας ταῖς σειραῖς. τοὺς δὲ θώρακας ποιοῦνται τὸν τρόπον τοῦτον. ἵππους πολλὰς 6
ἕκαστος τρέφει, ὡς δὴ οὔτε ἐς ἰδιωτῶν κλήρους τῆς γῆς μεμερισμένης οὔτε τι φερούσης πλὴν
ὕλης ἀγρίας, ἅτε ὄντων νομάδων. ταύταις οὐκ ἐς πόλεμον χρῶνται μόνον, ἀλλὰ καὶ θεοῖς θύουσιν
ἐπιχωρίοις καὶ ἄλλως σιτοῦνται. συλλεξάμενοι δὲ τὰς ὁπλὰς ἐκκαθήραντές τε καὶ διελόντες
ποιοῦσιν ἀπ' αὐτῶν ἐμφερῆ δρακόντων φολίσιν. ὅστις δὲ οὐκ εἶδέ πω δράκοντα, πίτυός γε εἶδε
καρπὸν χλωρὸν ἔτι· ταῖς οὖν ἐπὶ τῷ καρπῷ τῆς πίτυος φαινομέναις ἐντομαῖς εἰκάζων τὸ ἔργον
τὸ ἐκ τῆς ὁπλῆς οὐκ ἂν ἁμαρτάνοι. ταῦτα διατρήσαντες καὶ νεύροις ἵππων ἢ βοῶν συρράψαντες
χρῶνται θώραξιν οὔτε εὐπρεπείᾳ τῶν Ἑλληνικῶν ἀποδέουσιν οὔτε ἀσθενεστέροις· καὶ γὰρ συστάδην
τυπτόμενοι καὶ βληθέντες ἀνέχονται, οἱ δὲ θώρακες οἱ λινοῖ μαχομένοις μὲν οὐχ ὁμοίως εἰσὶ 7
χρήσιμοι, διιᾶσι γὰρ καταβιαζόμενοι τὸν σίδηρον, θηρεύοντας δὲ ὠφελοῦσιν· ἐναποκλῶνται γὰρ
σφισι καὶ λεόντων ὀδόντες καὶ παρδάλεων. θώρακας δὲ λινοῦς ἰδεῖν ἔν τε ἄλλοις ἱεροῖς ἔστιν
ἀνακειμένους καὶ ἐν Γρυνείῳ, ἔνθα Ἀπόλλωνος κάλλιστον ἄλσος δένδρων καὶ ἡμέρων καὶ ὅσα
τῶν ἀκάρπων ὀσμῆς παρέχεταί τινα ἢ θέας ἡδονήν.

31 ὀστεΐνας Palmerius: οἰσσίνας uel οἰσίνας codices | 32 κρανέινα Dindorf: κράνινα codices | 33 σειρὰς Schubart et Walz | ἐπιτύχοιεν Loescherus: καὶ τύχοιεν codices τύχοιεν καὶ Facius. ὁπόσους καὶ τύχοιεν Bekker | 35 δὴ Hitzig: ἂν codices | 38 λέπη uel tale quid ante ἐμφερῆ excidisse putat Hitzig | 40 ἢ Herwerden p. 51: καὶ codices | 43 καταβιαζόμενοι Emperius opusc. p. 342: καὶ βιαζόμενοι codices. καὶ seclusit Hitzig. μὲν ὁμοίως ... οὐ διιᾶσι γὰρ καὶ βιαζόμενοι ... θηρεύοντας δὲ καὶ Lebas *Mém. prés. à l'Acad.* sect. I tom. I p. 351 | 45 Γρυνείῳ Siebelis: γρυνιαίῳ codices

λαίου στρώσας ἀνέθηκεν κ. τ. λ. || Aristophanes Plut. 678 τῆς τραπέζης; τῆς ἱερᾶς. CIA. II, 836 (medii fere saec. III), 23 τὴ]ν ἀνάθεσιν καὶ τὴν ποίησιν τῆς τραπέζ[ης. | III, 68*c* (p. 483) Μενεκράτης Κηνσωρείνου Φαληρεὺς ζακορεύων τὰ ζώιδια ἐπεσκεύασα καὶ τὴν τράπεζαν. || Aristophanes Plut. 660 βωμῷ. 679 τοὺς βωμοὺς ἅπαντας. | CIA. II, 1650 (419) τὸν βω[μόν]. | III, 68*f* (p. 483, aet. Hadrian.) [Ἀσκληπι]ῶι καὶ Ὑγείαι Δημήτρι[ος Ἀντιόχ]ου Σφήττιος [ἀνέθη]κεν στρώσας [τὸ ἔδαφος τὸ πε]ρὶ τὸν βωμόν -- || CIA. III, 68*b* (p. 482, a. 51 p. Chr.) in epistylio Ionico Ἄρχων Διονυσόδωρος Εὐκάρπου τέχνης Πάσης με κῦδος κωμικῆς τραγικῆς χορῶν, Τὸν δειθύραμβον τρίποδα θῆκ' Ἀσκληπιῶι. cf. 712*a* (p. 500) ὁ πλησίον οὗτος τρίπους. || Aristophanes Plut. 733 ἐξηξάτην οὖν δύο δράκοντ' ἐκ τοῦ νεὼ Ὑπερφυεῖς τὸ μέγεθος. 741 ὁ θεὸς δ' εὐθέως Ἠφάνισεν αὐτὸν οἵ τ' ὄφεις ἐς τὸν νεών.

25 κρήνη] CIA. IV, *1*, 499*a* (p. 51) ὅρος κρένες (cf. tab. XXXIII). 499*b* (p. 128) [ὅρ]ος [κ]ρένες. || titvlvs epistylio siue antepagmento insculptus Ἀθηναίου V p. 527 Σωκράτης Σαραπίωνος Κηφισ[ιεὺς Ἀσκ]ληπιῶι καὶ Ὑγι[είαι] τὴν κρήνην καὶ τὴν εἴσοδο[ν ἐπεσκεύασ]εν (?) καὶ ἐθύρωσεν. || Xenophon memor. *3*, 13, 3 πότερον, ἔφη, τὸ παρά σοι ὕδωρ θερμότερον πιεῖν ἐστιν ἢ τὸ ἐν Ἀσκληπιοῦ; Τὸ ἐν Ἀσκληπιοῦ, ἔφη. || Plinivs *2*, 225 *quae in Aesculapi fonte Athenis mersa sunt in Phalerico redduntur.* (cf. ad c. 28, 16.)

Ἁλιρρόθιος] Pavsanias *1*, 28, 5 ἔστιν Ἄρειος πάγος καλούμενος, ὅτι πρῶτος Ἄρης ἐνταῦθα ἐκρίθη· καί μοι καὶ ταῦτα δεδήλωκεν ὁ λόγος, ὡς Ἁλιρρόθιον ἀνέλοι καὶ ἐφ' ὅτῳ κτείνειε. || Marmor Parivm (CIGr. 2374) 5 ἀφ' οὗ δίκη Ἀθήνησιν ἐγένετο Ἄρει καὶ Ποσειδῶνι ὑπὲρ Ἁλιρροθίου τοῦ Ποσειδῶνος καὶ ὁ τόπος ἐκλήθη Ἄρειος πάγος, ἔτη ͵ασξη', βασιλεύοντος Ἀθηνῶν Κραναοῦ (a. 1532). 25*

στοὰ Εὐμένειος (tab. XXXII seq.)] Vitrvvivs *5*, 9, 1 (cf. ad c. 20, 1). || cf. CIA. IV, *2*, 441*d* ἐπὶ Ξενοκλέους ἄρχοντος (inter a. 168 et 159) laudatur Διόδωρος φίλος ὑπάρχων τῷ βασιλεῖ Εὐμένει καὶ τοῖς ἀδελφοῖς αὐτοῦ. 46

ᾠδεῖον Ἡρῴδου] Pavsanias *7*, 20, 6 κεκόσμηται δὲ καὶ ἐς ἄλλα τὸ ᾠδεῖον (Patrensium) ἀξιο- 46*

22 Μετὰ δὲ τὸ ἱερὸν τοῦ Ἀσκληπιοῦ ταύτῃ πρὸς τὴν ἀκρόπολιν ἰοῦσι Θέμιδος ναός ἐστι. Κέχωσται δὲ πρὸ αὐτοῦ μνῆμα Ἱππολύτῳ. τοῦ δέ οἱ βίου τὴν τελευτὴν συμβῆναι λέγουσιν ἐκ καταρῶν. δῆλα δέ, καί ὅστις βαρβάρων γλῶσσαν ἔμαθεν Ἑλλήνων, ὅ τε ἔρως τῆς Φαίδρας καὶ τῆς τροφοῦ τὸ ἐς τὴν διακονίαν τόλμημα. ἔστι δὲ καὶ Τροιζηνίοις Ἱππολύτου τάφος·
2 ἔχει δέ σφισιν ὧδε ὁ λόγος. Θησεὺς ὡς ἔμελλεν ἄξεσθαι Φαίδραν, οὐκ ἐθέλων, εἴ οἱ γένοιντο παῖδες, οὔτε ἄρχεσθαι τὸν Ἱππόλυτον οὔτε βασιλεύειν ἀντ' αὐτῶν, πέμπει παρὰ Πιτθέα τραφησόμενον αὐτὸν καὶ βασιλεύσοντα Τροιζῆνος. χρόνῳ δὲ ὕστερον Πάλλας καὶ οἱ παῖδες ἐπανέστησαν Θησεῖ. τούτους κτείνας ἐς Τροιζῆνα ἔρχεται καθαρσίων εἵνεκα, καὶ Φαίδρα πρώτη ἐνταῦθα εἶδεν Ἱππόλυτον καὶ τὰ ἐς τὸν θάνατον ἐρασθεῖσα ἐβούλευσε. μυρσίνη δέ ἐστι Τροιζηνίοις τὰ φύλλα διὰ πάσης ἔχουσα τετρυπημένα· φῦναι δὲ οὐκ ἐξ ἀρχῆς τοιαύτην λέγουσιν, ἀλλὰ τὸ ἔργον γεγενῆσθαι τῆς ἐς τὸν ἔρωτα ἄσης καὶ τῆς περόνης ἣν ἐπὶ ταῖς θριξὶν εἶχεν ἡ Φαίδρα.
3 Ἀφροδίτην δὲ τὴν Πάνδημον, ἐπεί τε Ἀθηναίους Θησεὺς ἐς μίαν ἤγαγεν ἀπὸ τῶν δήμων πόλιν, αὐτήν τε σέβεσθαι καὶ Πειθὼ κατέστησε. τὰ μὲν δὴ παλαιὰ ἀγάλματα οὐκ ἦν ἐπ' ἐμοῦ, τὰ δὲ ἐπ' ἐμοῦ τεχνιτῶν ἦν οὐ τῶν ἀφανεστάτων.

3 βαρβάρων . . Ἑλλήνων libri deteriores: βάρβαρον . . ἕλλην ὢν meliores | 8 ἕνεκα Dindorf | πρῶτον Bekker | 10 τοιαύτην Herwerden p. 51: αὐτὴν codices

λογιώτατα τῶν ἐν Ἕλλησι πλήν γε δὴ τοῦ Ἀθήνησι· τοῦτο γὰρ μεγέθει τε καὶ ἐς τὴν πᾶσαν ὑπερῆρκε κατασκευήν, ἀνὴρ δὲ Ἀθηναῖος ἐποίησεν Ἡρώδης ἐς μνήμην ἀποθανούσης γυναικός (a. fere 160). ἐμοὶ δὲ ἐν τῇ Ἀτθίδι συγγραφῇ τὸ ἐς τοῦτο παρείθη τὸ ᾠδεῖον, ὅτι πρότερον ἔτι ἐξείργαστό μοι τὰ ἐς Ἀθηναίους ἢ ὑπῆρκτο Ἡρώδης τοῦ οἰκοδομήματος. || PHILOSTRATVS uit. sophist. *2*, 1, 5 ἀνέθηκεν Ἡρώδης Ἀθηναίοις καὶ τὸ ἐπὶ Ῥηγίλλῃ θέατρον κέδρου ξυνθεὶς τὸν ὄροφον, ἡ δὲ ὕλη καὶ ἐν ἀγαλματοποιίαις σπουδαία . . . ἀξιούσθω δέ λόγου καὶ τὸ ὑπωρόφιον θέατρον ὃ ἐδείματο Κορινθίοις, παρὰ πολὺ μὲν τοῦ Ἀθήνησιν, ἐν ὀλίγοις δὲ τῶν παρ' ἄλλοις ἐπαινουμένων. 8 θέατρον τοιοῦτον. || SVIDAS Ἡρώδης, Ἰούλιος . . καὶ στάδιον κατεσκευάσατο Ἀθηναίοις καὶ θέατρον ὑπωρόφιον. || Cf. tab. XXXII.

1 Θέμις] CIA. III, 329 (AE 2) Θέ[μις]? 318. 350 Γῆ Θέμις. 323 Ἀθηνᾶ Θέμις. || Cf. PAVSANIAS *2*, 27 (de Epidauriorum fano Aesculapi), 4 ἀρχαία στήλη, ἵππους δὲ Ἱππόλυτον ἀναθεῖναι τῷ θεῷ φησὶν εἴκοσι. 5 θέατρον ἐν τῷ ἱερῷ . . . ἐντὸς δὲ τοῦ ἄλσους . . Ἀφροδίτης ἱερὸν καὶ Θέμιδος . . καὶ κρήνη.

3 καταραί] PAVSANIAS *2*, 27, 4 τεθνεῶτα Ἱππόλυτον ἐκ τῶν Θησέως ἀρῶν ἀνέστησεν Ἀσκληπιός.

4 Ἱππολύτου τάφος] Cf. PAVSANIAS *2*, 32 (de Troezeniorum fano Hippolyti), 3 στάδιόν ἐστιν Ἱππολύτου καλούμενον καὶ ναὸς ὑπὲρ αὐτοῦ Ἀφροδίτης Κατασκοπίας· αὐτόθεν γάρ, ὁπότε γυμνάζοιτο ὁ Ἱππόλυτος, ἀπέβλεπεν ἐς αὐτὸν ἐρῶσα ἡ Φαίδρα. ἐνταῦθα ἔτι πεφύκει ἡ μυρσίνη, τὰ φύλλα ὡς καὶ πρότερον ἔγραψα ἔχουσα τετρυπημένα· καὶ ἡνίκα ἠπορεῖτο ἡ Φαίδρα καὶ ῥᾳστώνην τῷ ἔρωτι οὐδεμίαν εὕρισκεν, ἐς ταύτης τὰ φύλλα ἐσιναμώρει τῆς μυρσίνης. 4 ἔστι δὲ καὶ τάφος Φαίδρας, ἀπέχει δὲ οὐ πολὺ τοῦ Ἱππολύτου μνήματος· τὸ δὲ οὐ πόρρω κέχωσται τῆς μυρσίνης. τοῦ δὲ Ἀσκληπιοῦ τὸ ἄγαλμα ἐποίησε μὲν Τιμόθεος, Τροιζήνιοι δὲ οὐκ Ἀσκληπιὸν ἀλλὰ εἰκόνα Ἱππολύτου φασὶν εἶναι. καὶ οἰκίαν ἰδὼν οἶδα Ἱππολύτου· πρὸ δὲ αὐτῆς ἐστιν Ἡράκλειος καλουμένη κρήνη.

Ἀφροδίτη ἐπὶ Ἱππολύτῳ] CIA. I, 212 (temp. belli Pelop.) [Ἀφροδ]ίτες ἐ[πὶ Ἱπ]πολύτο[ι]. || EVRIPIDES Hippol. 30 πέτραν παρ' αὐτὴν Παλλάδος κατόψιον Γῆς τῆσδε ναὸν Κύπριδος ἐγκαθείσατο (Phaedra), Ἐρῶσ' ἔρωτ' ἔκδημον· Ἱππολύτῳ δ' ἔπι Τὸ λοῖπον ὠνόμαζεν (Meineke: ὠνόμαζον codices) ἱδρῦσθαι θεάν. | SCHOL. 30 Ἀφροδίτης ναὸν ἱδρύσασθαι τὴν Φαίδραν φησίν, ἐκάλεσε δὲ Ἀφροδίτην ἐφ' Ἱππολύτῳ· ὃν (uel om. uel ἴσως uel ἣν libri ὃ νῦν Schwartz) καὶ Ἱππολύτειον καλοῦσιν. | 32 ἐν γὰρ τῇ ἀκροπόλει ἱδρύσατο Ἀφροδίτης ναὸν ἐπὶ αὐτῷ (κακῷ libri) [Ἱππολύτῳ] (corr. Wilamowitz). || DIODORVS *4*, 62 Φαῖδρα διὰ τὸ κάλλος ἐρασθεῖσα αὐτοῦ τότε μὲν ἀπελθόντος εἰς Τροιζῆνα ἱδρύσατο ἱερὸν Ἀφροδίτης παρὰ τὴν ἀκρόπολιν, ὅθεν ἦν καθορᾶν τὴν Τροιζῆνα. || ASCLEPIADES ap. schol. Hom. λ 321 Φαῖδρα ἐρωτικῶς διατεθεῖσα τοῦ Ἱππολύτου . . τὸ μὲν πρῶτον ἱερὸν Ἀφροδίτης ἐν Ἀθήναις ἱδρύσατο, τὸ νῦν Ἱππολύτειον καλούμενον. || TZETZES ad Lycophr. 1329 ᾠκοδόμησε ναὸν τῇ Ἀφροδίτῃ, ἐρωτικὸν (ἐρωτικῶς?) αὐτὸν καλέσασα. 4*

μυρσίνη] cf. ad u. 4. 9

Ἀφροδίτη Πάνδημος] HARPOCRATION Πάνδημος Ἀφροδίτη. Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν πάνδη- 12

Ἔστι δὲ καὶ Γῆς Κουροτρόφου καὶ Δήμητρος ἱερὸν Χλόης· τὰ δὲ ἐς τὰς ἐπω- (22) νυμίας ἔστιν αὐτῶν διδαχθῆναι τοῖς ἱερεῦσιν ἐλθόντα ἐς λόγους.

Ἐς δὲ τὴν ἀκρόπολίν ἐστιν ἔσοδος μία· ἑτέραν δὲ οὐ παρέχεται, πᾶσα ἀπότομος 4 οὖσα καὶ τεῖχος ἔχουσα ἐχυρόν.

μόν φησιν Ἀθήνησίν κληθῆναι τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγορὰν διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον συνάγεσθαι τὸ παλαιὸν ἐν ταῖς ἐκκλησίαις, ἃς ἐκάλουν ἀγοράς. Νίκανδρος ἐν ϛ' (ἐν τρίτῳ Athenaeus) Κολοφωνιακῶν Σόλωνά φησι σώματα ἀγοράσαντα εὐπρεπῆ ἐπὶ στέγης στῆσαι διὰ τοὺς νέους καὶ ἐκ τῶν περιγενομένων χρημάτων ἱδρύσασθαι Ἀφροδίτης Πανδήμου ἱερόν. (cf. ATHENAEVS *13* p. 569[d].) || CIA. IV, *1*, 422[13] (p. 185, circa a. 500) ... όδορος μ' ἀνέθεκ' Ἀφροδίτει δõρον ἀπαρχέν : : Πότνια, τõν ἀγαθõν τõν σὺ δὸς ἀφθονίαν : : Οἵ τε λέγ[ο]σι λόγος ἀδίκ(ο)ς φσευδᾶς κα[τ]' ἐκ[ένο] Τõ[ν - - || CIA. IV, *2*, 1531*b* in epistylio (saec. IV) Τόνδε σοι, ὦ μεγάλη σεμνὴ Πάνδημε Ἀφρ[οδίτη — — Δή]μου μὲν δώροις, εἰκόσιν ἡμετέραις. Ἀρχῖνος Ἀλυπήτ[ο]υ Σκαμβωνίδης, Μενεκράτεια Δεξικράτους Ἰκαριέως θυγάτηρ ἱέρεια τῆς [Ἀφροδίτης τῆς Πανδήμου - - - Δ]εξικράτους Ἰκαριέως θυγάτηρ, Ἀρχίνου δὲ μήτηρ. || CIA. IV. *2*, 314*c* ἐπὶ ἱερείας Ἡγησιπύλης. ἐπ' Εὐθίου ἄρχοντος (283) ... Καλλίας [Λυ]σιμάχου Ἕρμειος εἶπεν· ὅ[π]ως ἂν οἱ ἀστυνόμοι οἱ ἀεὶ λανχ[ά]νοντες ἐπιμέλειαν ποιῶντα[ι] τοῦ ἱεροῦ τῆς Ἀφροδίτης τῆς Πανδήμου κατὰ τὰ πάτρια .. δεδόχθαι τῆι βουλῆι, τοὺς προέδρους .. προσαγαγεῖν τὸν [ο]ἰκεῖον τῆς ἱερείας .. γνώμην δὲ ξυνβάλλε[σθαι] τῆς βουλῆς εἰς τὸν δῆμον ὅ[τ]ι δοκεῖ τῆι βουλῆι, τοὺς ἀστυνόμους τοὺς ἀεὶ λαχόντας, ὅταν ἦι ἡ πομπὴ τῆι Ἀφροδίτηι τεῖ Πανδήμωι, παρασκευάζειν εἰς κάθαρσι[ν] τοῦ ἱεροῦ περιστερὰν καὶ περιαλε[ῖψαι] τοὺς βωμοὺς καὶ πιττῶσαι τὰς [ὀροφὰς] καὶ λοῦσαι τὰ ἕδη· παρα[σκευάσαι δὲ κα]ὶ πορφύραν ὁλκὴν ⊢⊢ - - -

13 Πειθώ] CIA. III (AE 2), 351 ὑμνητρίας Νύσα[ς] τροφοῦ ..... Πειθοῦς. || ISOCRATES *15*, 249 τὴν Πειθὼ μίαν τῶν θεῶν νομίζουσιν εἶναι καὶ τὴν πόλιν ὁρῶσι καθ' ἕκαστον τὸν ἐνιαυτὸν θυσίαν αὐτῇ ποιουμένην.

15 Γῆ Κουροτρόφος] SVIDAS Κουροτρόφος Γῆ. ταύτῃ θῦσαί φασι πρῶτον Ἐριχθόνιον ἐν ἀκροπόλει καὶ βωμὸν ἱδρύσασθαι. (cf. AA 14.) || CIA. I, 4 [Γει Κο|[10]ρ]οτρόφοι ἐμι[- - χο|[11]ῖ]ρος. || CIA. IV, *1*, 555*c* (p. 55) terminus [Κ]ορο[τ]ρόφ[ο] uel -[ιον]. | Ἀθήν. VI p. 147 [Κ]ουροτρόφιον. 148 [Κο]υροτρ[όφιον] (aet. Rom.). || CIA. II, 481 (med. saec. I), 59 (ephebi ἔθυσαν) τὰ ἐξιτητήρια ἐν ἀκροπόλει τῆι τε Ἀθηνᾶι τῆι Πολιάδι καὶ τῆι Κουρ[οτρό]φωι καὶ τῆι Πανδρόσ[ωι κα]ὶ ἐκαλλιέρησαν. || Δελτ. 1889 p. 130 τὴν Κουροτρόφον. || CIA. III, 411 εἴσοδος πρὸς σηκὸν Βλαύτης καὶ Κουροτρόφου ἀνει[μ]ένη τῷ δήμῳ. | HESYCHIVS Βλαύτη· τόπος Ἀθήνησι. (cf. POLLVX *7*, 87 ἥρως Ἀθήνησιν ὁ ἐπὶ βλαύτῃ.)

Δημήτηρ Χλόη] ARISTOPHANES Lysistr. 835 παρὰ τὸ τῆς Χλόης. | SCHOL. Χλόης Δήμητρος ἱερὸν ἐν ἀκροπόλει, ἐν ᾧ οἱ Ἀθηναῖοι θύουσι μηνὸς Θαργηλιῶνος, ὥς Φιλόχορός φησιν ἐν ϛ'. || SCHOL. SOPH. Oed. Col. 1600 Εὐχλόου Δήμητρος ἱερόν ἐστι πρὸς τῇ ἀκροπόλει. καὶ Εὔπολις Μαρικᾷ· Ἀλλ' εὐθὺ πόλεως εἶμι· θῦσαι γάρ με δεῖ Κριὸν Χλόῃ Δήμητρι. ... θύουσι τε Θαργηλιῶνος ἕκτῃ. (CIA. III, 191 Δήμητρι Εὐχλόῃ.) || CORNVTVS 28 περὶ τὸ ἔαρ τῇ Χλόῃ Δήμητρι θύουσι μετὰ παιδιᾶς καὶ χαρᾶς, ἰδόντες χλοάζοντα καὶ ἀφθονίας αὐτοῖς ἐλπίδα ὑποδεικνύντα. || CIA. II, 375, 6 (saec. III) πα[ρὰ] τὸν ν[εὼν τῆς] Δήμητρος. (at cf. AE 2, 356.) || CIA. II, 631, 16 Δήμητρος Χλόης ἱερε[ίαι ἱερώσυνα] - - ἐπὶ δὲ τὴν τράπεζαν - - || CIA. III, 349 (AE 2). Δελτ. 1889 p. 130 Δημήτηρ Χλόη. CIA. II, 722*B*, 18 (saec. IV) [Δήμη]τρος τῆ[ς Χ]λοί[ης. || Δελτ. 1889 p. 130 Δήμητρι Χλόῃ καὶ Κόρῃ τὴν Κουροτρόφον Εἰσίδοτος ἀνέθηκεν κατ' ὄνειρον. || *Athen. Mittheil.* 1893 p. 192 (saec. II p. Chr.) Φοῖβος Ἀθηναίοις Δελφοὺς ναίων τάδε [εἶπεν]. [2]Ἔστιν σοι παρ' ἄκρας πόλεως παρα ‒ ◡◡ ‒ ◡ [3]— —[4] Δημητρὸς Χλοίης ἱερὸν Κού[ρης τε μακαίρας], [5]Οὗ πρῶτον στάχυς εὐξή[θη ζειῶν ἱεράων], [6]Ἃς πρότεροι πατ[έρες - -] [7]ἱδρύσ[αντο - -. *B* - - ἀπαρχάς - -. 15*

Βουζύγιος ἄροτος] PLVTARCHVS coniug. praec. 42 Ἀθηναῖοι τρεῖς ἀρότους ἱεροὺς ἄγουσι, πρῶτον ἐπὶ Σκίρῳ .., δεύτερον ἐν τῇ Ῥαρίᾳ, τρίτον ὑπὸ πόλιν, τὸν καλούμενον Βουζύγιον. || ARISTIDES *37*, 16 (*2* p. 20 D.) Βουζύγης τις ὑπῆλθέ με τῶν ἐξ ἀκροπόλεως, καὶ ὡς οὐκ ἦν τῷ γεωργῷ οὔτε τὸ ἄροτρον οὔτ', ἐπειδὴ καὶ τὸ ἄροτρον, τό γε ζεῦξαι τοὺς βοῦς, εἰ μὴ ἐπιφροσύνην δῶκε γλαυκῶπις Ἀθήνη (Hom. ε 437). || SCHOL. AESCHINIS *2*, 78 τοῦ Βουζύγου] τοῦ ὄντος ἐκ τοῦ γένους τῶν Βουζυγῶν· ἓν γὰρ ἦν καὶ τοῦτο γένος τιμώμενον παρὰ τοῖς Ἀθηναίοις, ἐξ οὗ ἐγίνετο ἡ ἱέρεια τῆς Ἀθηνᾶς. Βουζύγης δὲ ἐκλήθη Ἐπιμενίδης Ἀθηναίων τῶν πάλαι, ὅστις πρῶτος ζεῦγος βοῶν ἔζευξεν· ὅθεν καὶ τὸ ἄροτρον αὐτοῦ ἀνέκειτο ἐν τῇ ἀκροπόλει πρὸς μνήμην. || Cf. SVIDAS Ἐπιμενίδης ... υἱὸς Βλάστας, Κρὴς ἀπὸ Κνωσσοῦ. 15**

ἀκρόπολις] ORACVLVM ap. Herod. *7*, 140 πόλιος τροχοειδέος ἄκρα κάρηνα. || ARISTOPHANES Lys. 480 ὅ τι βουλόμεναί ποτε τὴν Κραναὰν κατέ- 17

(22)4 Τὰ δὲ Προπύλαια λίθου λευκοῦ τὴν ὀροφὴν ἔχει, ⟨ἣ⟩ κόσμῳ καὶ μεγέθει τῶν λίθων μέχρι γε καὶ ἐμοῦ προεῖχε.

19 ἣ Schubart: καὶ codices ἣ καὶ Michaelis *Athen. Mitth.* 1876 p. 283

λαβον, Ἐφ' ὅ τι τε μεγαλόπετρον, ἄβατον ἀκρόπολιν, Ἱερὸν τέμενος. || ORACVLVM apud Herod. 7, 141 Κέκροπος οὖρος. | OVIDIVS met. *6*, 70 *Cecropia arx. 15*, 427 *Cecropiae arces.* | STRABO *9* p. 397 Κέκροπα πρῶτον εἰς δώδεκα πόλεις συνοικίσαι (φησὶ Φιλόχορος), ὧν ὀνόματα Κεκροπία κ. τ. λ. | PLINIVS *7*, 194 *oppidum Cecrops a se appellauit Cecropiam quae nunc est arx Athenis.* || EVRIPIDES Ion. 1434 Ἀθάνας σκόπελος. | 12 Παλλάδος ὄχθος. | Hippol. 30 πέτρα Παλλάδος. | VALERIVS MAX. *5*, 3, ext. 3 *excelsa praesidis Palladis arx.* | HIMERIVS or. *3*, 12 ὁ κολωνὸς τῆς Παλλάδος. | SCHOL. EVRIP. Hippol. 33 πέτραν Παλλάδος φησὶ τὸ ἐν τῇ Ἀττικῇ Γλαυκώπιον, οὗ Καλλίμαχος ἐν Ἑκάλῃ μέμνηται (schol. Hom. E 422 ἤ τ' ⟨ἐπ'⟩ ἄκρης ⟨πόλιος⟩ θιναῖς Γλαυκώπιον ἵζει, corr. OSchneider). περὶ δὲ ⟨τοῦ⟩ τὸ ἱερὸν Γλαυκώπιον καλεῖσθαι ἀπὸ τοῦ ἐπωνύμου ⟨Γλαύκωπος seu Γλαύκου⟩ ... | ETYM. M. Γλαυκώπιον· τὴν ἀκρόπολιν οἱ ἀρχαῖοι· ἢ τὸ ἐν ἀκροπόλει τῆς Ἀθηνᾶς ἱερόν. | EVSTATHIVS ad Hom. β 398 ὅτι ἀπὸ τοῦ γλαυκῶπις Γλαυκώπιον ἡ Ἀττικὴ ἐλέχθη ἀκρόπολις ἢ καὶ ἁπλῶς, δηλοῦσιν οἱ παλαιοί. | ETYMOL. MAGN. Γλαυκῶπις· ... ἢ ἀπὸ τοῦ Γλαυκωπίου ὄρους, ὃ Λυκαβηττὸς καλεῖται. | STRABO 7 p. 299 ἄλλους αἰτιᾶται (Apollodorus) ψεύσασθαι περὶ ... Γλαυκωπίου ἐν Ἀθήναις. || In titulis Atticis saeculi quinti ἀκροπόλεως nomen de arce Atheniensium usurpatum tam rarum est (CIA. I, 32*B*, 4 et 10. 58, 11) quam post Euclidis annum πόλεως uocabulum, cuius exempla in hac re post pacem a rege missam (387/6) deficiunt (at cf. Xen. anab. 7, 1, 27. de uect. 5, 12. Aesch. *1*, 97. Aristot. de re publ. Ath. 8, 4. 24, 3. CIA. III, 398).

17* ἔσοδος] HERODOTVS *8*, 53 ὄπισθε τῶν πυλέων καὶ τῆς ἀνόδου. || LVCIANVS pisc. 42 (ad c. 21, 30) ἡ ἄνοδος. || ARISTOPHANES Lysistr. 286 Ἀλλ' αὐτὸ γάρ μοι τῆς ὁδοῦ λοιπόν ἐστι χωρίον Τὸ πρὸς πόλιν, τὸ σιμὸν οἷ σπουδὴν ἔχω. || [DIOGENES] epist. 30 (Socrates) ἀπαναστὰς τῶν θάκων ἦγεν ἡμᾶς εἰς ἄστυ καὶ δι' αὐτοῦ εὐθὺς εἰς τὴν ἀκρόπολιν. καὶ ἐπεὶ ἀγχοῦ ἐγενόμεθα, ἐπιδείκνυσιν ἡμῖν δύο τινὲ ὁδὼ ἀναφερούσα, τὴν μὲν ὀλίγην προσάντη τε καὶ δύσκολον, τὴν δὲ πολλὴν λείαν τε καὶ ῥᾳδίαν καθιστάς. ἅμα γὰρ "αἱ μὲν εἰς τὴν ἀκρόπολιν" εἶπε "φέρουσαι ὁδοί εἰσιν αὗται" κ. τ. λ.

17** ARISTOTELES de re publ. Ath. 24, 3 ἐν [τῇ] πόλει φρουροὶ ν'. || CIA. III, 3908 [ἀκ]ροφύλα[κες]. | 3906 [τῶν ἀ]κροφυλά[κων] - - καὶ τῶν πυ[λωρῶν]. || CIA, III, 1284 *E. F.* πυλωροὶ - - Π[όπλιος] Κ[ορνήλιος] Σ[άτυρο]ς Κη[φ]ισιεύς, ἐφ' ὧν καὶ τὸ ἔργον τῆς ἀναβάσεως ἐγένετο. | 1285 πυλωροὶ ἐ[φ'] ὧν καὶ τὸ [ἔργον τῆς ἀναβάσεως ἐγένετο] Δημήτριος Συβρίδης, Πόπλιος Κορνήλιος Σάτ[υρος] Κηφισιεύς. | *Monatsber. Berl. Akad.* 1887 p. 1065 n. 16 πυλωρο[ὶ] τὸ ἑνδέκατ[ον] Πρωτογένης - - Αζηνιεύς, αφ. (ἄμ[εμπτο.] Ἐφημ. ἀρχ. 1885 p. 64). ἐπὶ ἄρχοντος Χρυσ[ίπ]που πυλωροὶ Ἄλεξις Ἀφροδεισίο[υ] Σκαμβωνίδης, Εἰσίδωρος Σωσικ[ρά]τους Ἐρχιεύς, ἄμεμπτοι. | ibid. p. 1062 n. 5 [πυ]λωροὶ - - Φιλαίδης, . . όδωρος - - [Φιλ]αίδης. | Δελτ. 1889 p. 53 n. 9 [πυλωροὶ] - - λίο[υ] Ἀζηνιεύς, Ἀπολλόδω[ρ]ος Θεοφράστου Παιανιεύς, σαλπικτὴς Δημήτριος Πολυξένου Ἀπολλωνιεύς. | CIA. III, 3907 - - θεᾶι πυλ[ω]ροὺς ἀνέθεσαν. (hi tituli omnes ad medium fere saeculum I p. Chr. n. spectant). | 159 iuxta monumentum Agrippae solo teste Pittace: Ἀπόλλωνι Ἀγυιε[ῖ] (Ἀγυιέωι Pitt.) τὸν βωμὸν οἱ πυλωροὶ Λι - -. || MARINVS uit. Procl. 10 (AA 245) ὁ θυρωρὸς τὰς κλεῖς ἐπιτιθέναι μέλλων ταῖς θύραις. || CIA. III, 826 (AA 237) τῷ φρουρίῳ ὃ οἰκείοις ἀναλώμασιν κατεσκεύασεν. || CIA. III, 398 (AA 238) Φλ. Σεπτίμιος Μαρκελλεῖνος φλαμ(ὴν) καὶ ἀπὸ ἀγωνοθετῶν ἐκ τῶν ἰδίων τοὺς πυλῶνας τῇ πόλι.

τεῖχος] cf. c. 28, 12 seq. 18

Προπύλαια] ARISTOTELES de re publ. Ath. 19
15, 4 (AA 30) τὸ πρόπυλον τῆς ἀκροπόλεως. POLYAENVS *1*, 21, 2 (AA 31) τὸ Προπύλαιον. | HERODOTVS *5*, 77 (AA 43) τὰ προπύλαια τὰ ἐν τῇ ἀκροπόλι. || HARPOCRATION Προπύλαια ταῦτα· Δημοσθένης Φιλιππικοῖς . . . . περὶ δὲ τῶν προπυλαίων τῆς ἀκροπόλεως ὡς ἐπὶ Εὐθυμένους ἄρχοντος (437/6) οἰκοδομεῖν ἤρξαντο Ἀθηναῖοι (cf. AE 5) Μνησικλέους ἀρχιτεκτονοῦντος ἄλλοι τε ἱστορήκασι καὶ Φιλόχορος ἐν τῇ δ'. Ἡλιόδωρος δ' ἐν α' περὶ τῆς Ἀθήνησιν ἀκροπόλεως μεθ' ἕτερα καὶ ταῦτά φησιν "ἐν ἔτεσι μὲν ε' παντελῶς ἐξεποιήθη, τάλαντα δὲ ἀνηλώθη δισχίλια ιβ' (numerum corruptum putabat Wachsmuth *Stadt Athen* I p. 526)· ε' δὲ πύλας ἐποίησαν, δι' ὧν εἰς τὴν ἀκρόπολιν εἰσίασιν". (cf. PHOT. SVID.) || THVCYDIDES *2*, 13 τὰ γὰρ πλεῖστα τριακοσίων δέοντα μύρια ἐγένετο, ἀφ' ὧν ἔς τε τὰ προπύλαια τῆς ἀκροπόλεως καὶ τἆλλα οἰκοδομήματα καὶ ἐς Ποτείδαιαν ἀπανηλώθη. || DIODORVS *12*, 40 ἐκείνων (τῶν μετακεκομισμένων ἐκ Δήλου χρημάτων) ὄντων μυρίων ταλάντων ἀπανήλωτο πρὸς τὴν κατασκευὴν τῶν Προπυλαίων καὶ τὴν Ποτιδαίας πολιορκίαν τετρακισχίλια τάλαντα. || DIO CHRYSOSTOMVS *2* p. 85 R. τὰ προπύλαια τῆς ἀκροπόλεως καὶ τὸ Ὀλυμπιεῖον ἀπὸ

21 Τὰς μὲν εἰκόνας τῶν ἱππέων οὐκ ἔχω σαφῶς εἰπεῖν εἴτε οἱ παῖδές εἰσιν οἱ Ξενο- (22)
φῶντος εἴτε ἄλλως ⟨ἐς⟩ εὐπρέπειαν πεποιημέναι· τῶν δὲ Προπυλαίων ἐν δεξιᾷ Νίκης ἐστὶν

22 ἐς om. codices

πλειόνων ἢ μυρίων ταλάντων. || PLVTARCHVS Pericl. 13 τὰ δὲ προπύλαια τῆς ἀκροπόλεως ἐξειργάσθη μὲν ἐν πενταετίᾳ Μνησικλέους ἀρχιτεκτονοῦντος. || LYCVRGVS fr. 58 Bl. Περικλῆς ὁ . . τὰ Προπύλαια καὶ τὸ Ὠιδεῖον καὶ τὸ Ἑκατόμπεδον οἰκοδομήσας. || PLVTARCHVS de gloria Ath. 8 τὰ Προπύλαια Περικλῆς ἀνέστησε καὶ τοὺς Ἑκατομπέδους. || CICERO de off. *2*, 60 *Phalereus Demetrius, qui Periclem, principem Graeciae, uituperat, quod tantam pecuniam in praeclara illa Propylaea coniecerit.* || HIMERIVS ecl. 31, 8 Περικλεῖ μὲν Προπύλαια πρὸς φιλοτιμίαν ἤρκει καὶ Παρθενών. || ARISTOPHANES Lysistr. 310 Κἂν μὴ καλούντων τοὺς μοχλοὺς χαλῶσιν αἱ γυναῖκες, Ἐμπιμπράναι χρὴ τὰς θύρας. | 264 μόχλοις δὲ καὶ κλῄθροισιν Τὰ Προπύλαια πακτοῦν.

19+ DEMOSTHENES *22*, 13 οἱ τὰ Προπύλαια καὶ τὸν Παρθενῶνα οἰκοδομήσαντες ἐκεῖνοι καὶ τἄλλα ἀπὸ τῶν βαρβάρων ἱερὰ κοσμήσαντες, ἐφ' οἷς φιλοτιμούμεθα πάντες εἰκότως. | 76 ἀφ' ὧν κτήματα ἀθάνατα αὐτῷ (τῷ δήμῳ) περίεστι, τὰ μὲν τῶν ἔργων ἡ μνήμη, τὰ δὲ τῶν ἀναθημάτων τῶν ἐπ' ἐκείνοις σταθέντων τὸ κάλλος, Προπύλαια ταῦτα, ὁ Παρθενών, στοαί, νεώσοικοι. || IDEM *23*, 207 τὰ τῆς πόλεως οἰκοδομήματα καὶ κατασκευάσματα τηλικαῦτα καὶ τοιαῦτα ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι, Προπύλαια ταῦτα, νεώσοικοι, στοαί, Πειραιεύς, τἄλλα οἷς κατεσκευασμένην ὁρᾶτε τὴν πόλιν. || PLVTARCHVS de gloria Ath. 7 τροπαίοις δὲ παντοδαποῖς ἀναστέφονται καὶ λαφύροις, ὧν ἀγάλματα καὶ σύμβολα Παρθενῶνες ἑκατόμπεδοι, νότια τείχη, νεῶν οἶκοι, Προπύλαια. || CICERO de re publ. *3*, 44 *num aut uetus gloria ciuitatis aut species praeclara oppidi aut theatrum, gymnasia, porticus aut Propylaea nobilia aut arx aut admiranda opera Phidiae aut Piraeeus ille magnificus rem publicam efficiebat?* || SCHOL. DEMOSTH. *3*, 25 ταῦτα πάντα ἐποίησαν καὶ ἀνέθεσαν ἀπὸ τῶν λαφύρων τῶν Περσικῶν, τὸν δίφρον τὸν ἀργυρόποδα τοῦ Ξέρξου καὶ τὸν ἀκινάκην τὸν Μαρδονίου, καὶ τὰ προπύλαια τῆς ἀκροπόλεως κατεσκεύασαν καὶ τὴν χαλκῆν Ἀθηνᾶν καὶ τὴν ἐκ χρυσοῦ καὶ ἐλέφαντος. || DIO CHRYSOST. *2*, p. 85 R. u. ad c. 27, 5. || ATHENAEVS *14* p. 652ᵈ Φοινικίδης ἐν Μισουμένῃ φησίν· Μύρτων λέγουσιν καὶ μέλιτος ἐγκώμιον Καὶ τῶν Προπυλαίων καὶ τέταρτον ἰσχάδων.

21 εἰκόνες τῶν ἱππέων] CIA. IV, *1*, 418*h* (p. 184. AA 92) basis prope scalas ad aediculam Mineruae Victoriae ferentes (tab. XIX, 7) ʽοι ʽι[ππ]ε̃ς ἀπὸ τõν πολεμίον ʽιππαρ[χ]ό[ν]|τον Λακεδαιμονίο, Ξενοφõντος, Προν[άπο]. | Λύκ[ιος ἐ]ποίεσεν Ἐλευθερεὺς Μύρον[ος]. idem titulus in postica marmoris facie recentioribus temporibus repetitus est. eiusdem tituli alterum exemplar mutilum extat (p. 183). || DIOGENES LAERTIVS *2*, 52 εἵπετο δὲ αὐτῷ (Xenophonti) καὶ γύναιον ὄνομα Φιλησία, καθά φησι Δημήτριος ὁ Μάγνης, καὶ δύο υἱεῖς Γρύλλος καὶ Διόδωρος, ὥς φησι Δείναρχος ἐν τῷ πρὸς Ξενοφῶντα ἀποστασίου, οἳ καὶ Διόσκουροι ἐπεκαλοῦντο. || Cf. ad c. 23, 40.

Νίκης Ἀπτέρου] PAVSANIAS *5*, 26, 6 παρὰ 22
τὴν Ἀθηνᾶν (Olympiae in Altide) πεποίηται Νίκη· ταύτην Μαντινεῖς ἀνέθεσαν, τὸν πόλεμον δὲ οὐ δηλοῦσιν ἐν τῷ ἐπιγράμματι. Κάλαμις δὲ οὐκ ἔχουσαν πτερὰ ποιῆσαι λέγεται ἀπομιμούμενος τὸ Ἀθήνησι τῆς Ἀπτέρου καλουμένης ξόανον. || IDEM *3*, 15, 7 πέδας ἐστὶν ἔχων Ἐνυάλιος, ἄγαλμα ἀρχαῖον. γνώμη δὲ Λακεδαιμονίων τε ἐς τοῦτό ἐστι τὸ ἄγαλμα καὶ Ἀθηναίων ἐς τὴν Ἄπτερον καλουμένην Νίκην, τῶν μὲν οὔποτε τὸν Ἐνυάλιον φεύγοντα οἰχήσεσθαί σφισιν ἐνεχόμενον ταῖς πέδαις, Ἀθηναίων δὲ τὴν Νίκην αὐτόθι ἀεὶ μενεῖν οὐκ ὄντων πτερῶν. τόνδε μὲν εἰσιν αἱ πόλεις αὗται τὰ ξόανα τὸν τρόπον ἱδρυμέναι καὶ ἐπὶ δόξῃ τοιαύτῃ. || HARPOCRATION Νίκη Ἀθηνᾶ· Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. ὅτι δὲ Νίκης Ἀθηνᾶς ξόανον ἄπτερον, ἔχον ἐν μὲν τῇ δεξιᾷ ῥόαν ἐν δὲ τῇ εὐωνύμῳ κράνος, ἐτιμᾶτο παρ' Ἀθηναίοις δεδήλωκεν Ἡλιόδωρος (ὁ περιηγητὴς add. PHOT. SVID.) ἐν α' περὶ ἀκροπόλεως. || NICARCHVS anth. Palat. *9*, 576 Παρθένε Τριτογένεια, τί τὴν Κύπριν ἄρτι με λυπεῖς, Τοὐμὸν δ' ἁρπαλέᾳ δῶρον ἔχεις παλάμῃ; Μέμνησαι τὸ πάροιθεν ἐν Ἰδαίοις σκοπέλοισιν Ὡς Πάρις οὐ σὲ καλὴν ἀλλ' ἔμ' ἐδογμάτισεν. Σὸν δόρυ καὶ σάκος ἐστίν, ἐμὸν δὲ τὸ μῆλον ὑπάρχει· Ἀρκεῖ τῷ μήλῳ κεῖνος ὁ πρὶν πόλεμος. || DEMOSTHENES *24*, 121 οἱ τὰ ἀκρωτήρια τῆς Νίκης περικόψαντες ἀπώλοντο αὐτοὶ ὑφ' αὑτῶν. | SCHOL. . . . τινὲς δὲ ἐξηγοῦνται Νίκης Ἀθηνᾶς εἶναι ἄγαλμα ἐν τῇ ἀκροπόλει· ταύτης δὲ τὰς πτέρυγας χρυσᾶς οὔσας ἐπεχείρησά⟨ν⟩ τινες κακοῦργοι ἀφελέσθαι, καὶ ἀπώλοντο αὐτοὶ ὑφ' ἑαυτῶν οἱ κακοῦργοι· στασιάζοντες πρὸς αὑτοὺς τίς πλέον λάβοι ἀπὸ τῆς κλοπῆς, ἐμβαλούσης αὐτοῖς τοῦτο τῆς Ἀθηνᾶς, ἤλεγξαν ἑαυτούς. (at cf. ad c. 24, 41 et CIA. II, 652, 23: Victoriae in Hecatompedo seruatae ἀκρω[τή]ριον χρυσ[οῦ]ν ὀπ[ίσθ]ιον.) || CIA. IV, *2*, 198*c* (AA 110) - - οἱ ἡιρημ]ένοι ὑπὸ τοῦ δήμ[ο]υ [- - τὴν] ἐπισκευὴν τοῦ ἀγ[άλ]μα[τος τῆς Ἀθηνᾶ]ς τῆς Νίκης, ἣν ἀνέ[θ]εσαν [Ἀθηναῖοι ἀπὸ] Ἀμβρακιωτῶν κα[ὶ τῆ]ς ἐν [Ὄλπαις στρατ]ιᾶς καὶ τῶν ἐπ' Ἀν . . α[ν]τ[α ἐν τῆι ἠπείρ]ωι Κερκυραίων - - || TESSERA plumbea edita a

(22) 5 Ἀπτέρου ναός. ἐντεῦθεν ἡ θάλασσά ἐστι σύνοπτος, καὶ ταύτῃ ῥίψας Αἰγεὺς ἑαυτόν, ὡς λέγουσιν, ἐτελεύτησεν. ἀνήγετο μὲν γὰρ ἡ ναῦς μέλασιν ἱστίοις ἡ τοὺς παῖδας φέρουσα ἐς Κρήτην· Θησεὺς δὲ (ἔπλει γὰρ τόλμης τι ἔχων ἐς τὸν Μίνω καλούμενον ταῦρον) πρὸς τὸν πατέρα προεῖπε χρήσεσθαι τοῖς ἱστίοις λευκοῖς, ἢν ὀπίσω πλέῃ τοῦ ταύρου κρατήσας. τούτων λήθην ἔσχεν Ἀριάδνην ἀφῃρημένος. ἐνταῦθα Αἰγεὺς ὡς εἶδεν ἱστίοις μέλασι τὴν ναῦν κομιζομένην, οἷα τὸν παῖδα τεθνάναι δοκῶν, ἀφεὶς αὑτὸν διαφθείρεται· καί οἱ παρὰ Ἀθηναίοις ἐστὶ καλούμενον ἡρῷον Αἰγέως.

6 Ἔστι δὲ ἐν ἀριστερᾷ τῶν Προπυλαίων οἴκημα ἔχον γραφάς· ὁπόσαις δὲ μὴ καθέστηκεν ὁ χρόνος αἴτιος ἀφανέσιν εἶναι, Διομήδης ἦν ⟨καὶ Ὀδυσσεύς⟩, ὁ μὲν ἐν Λήμνῳ τὸ Φιλοκ-

25 τοῦ Μίνω meliores | 26 τοῖς del. Hitzig *Beitr. zur Textkritik d. Paus.* p. 12, sed retractauit | 30 γραφάς, ὁπόσαις γε — εἶναι. Διομήδης GHermannus opusc. V p. 226 | μὴ deleuit, καὶ Ὀδυσσεύς post ἦν recepit, Διομήδης post ὁ δὲ inseruit GKayser *Jahrb. f. Philol.* LXX p. 433 | 31 ὡς Διομήδης Welcker *Hall. Litt.-Ztg.* 1836 Oct. p. 203 | καὶ Ὀδυσσεύς post ἦν codices quidam in marg., unus praemisso τάχα λείπει | ἐκ Λήμνου Sylburg

Benndorfio *Beiträge z. Kenntniss d. att. Theaters*, tab. n. 46: ara Ἀρτέμιδ[ι Φ]ωσφό[ρωι], in auersa parte [Ἀ]θηνᾶ Νίκ[η]. || Ἀθηναίας Νίκης donaria passim in traditionibus rerum sacrarum in arce seruatarum enumerantur, ubi raro dea solo Νίκης nomine appellatur (CIA I, 166*g*, 3. 188, 5. cf. ARISTOPH. Lys. 318 δέσποινα Νίκη ξυγγενοῦ). || CIA. I, 189ᵃ (Ol. 93, 2 = 407), 1—3 ἐπὶ τε̃ς Ἐρεχθεΐδος δευτέρας πρ[υτανευούσες Ἑλλενοταμίαις παρέδομεν Λυσιθέει Θυμ]αιτάδει καὶ συνάρχουσι, τρίτ[ει] καὶ δεκάτε[ι τε̃ς πρ]υτα[νείας, δεκάτει φθίνοντος Μεταγειτ]νιο̃νος, εἰς τὲν διοβελίαν Ἀθενα[ία]ι Νίκει 𐅃 . . . . . similia repetuntur u. 5—7 ἑ[κτει φθίνοντος Μεταγειτνιο̃νος] - - 𐅅ΗΗΗΗ. Δ[ΔΔ]𐅃Η, u. 17—19 ὀγδόει ἱσταμένο Βοεδρομιο̃νος - - 𐅅𐅃Η. || SOPHOCLES Phil. 134 Νίκη τ' Ἀθηνᾶ Πολιάς, ἣ σῴζει μ' ἀεί. | SCHOL. REC. οὕτως Νίκη Ἀθηνᾶ ἐν τῇ Ἀττικῇ. cf. ad c. 23, 25*. || EVSTATHIVS ad Hom. Φ, 410 ταύτης (Mineruae) ὁ πατὴρ ἅμα γεννήσας αὐτὴν νίκην ἐποίησε κατὰ Τιτάνων, διὸ καὶ Ἀθηνᾶ Νίκη ἐπωνομάσθη πρός τε μνήμην τῆς πατρῴας ἀρετῆς καὶ εἰς φερωνυμίας ἐπώνυμον διὰ τὸ τῆς φρονήσεως ἀεὶ νικητικόν.

23 ναός] AE 6 τε̃ι Ἀθενάαι τε̃ι Νίκει ἱέρεαν . . . καταστε̃σαι καὶ τὸ ἱερὸν θυρο̃σαι καθότι ἂν Καλλικράτες χσυγγράφσει . . . . - - νεὸν δὲ οἰκοδομε̃σαι καθότι ἂν Καλλικράτες χσυγγράφσει καὶ βομὸν λίθινον. || AE 34 θύοντων - - μίαν (βοῦν) ἐπὶ τῶι τῆς Νίκης (βωμῶι), προκρίναντες ἐκ τῶν καλλιστευουσῶν βοῶν, καὶ θύσαντες τῆι Ἀθηνᾶι τῆι Πολιάδι καὶ τῆι Ἀθηνᾶι τῆι Νίκηι κ. τ. λ. || [DEMOSTHENES] prooem. 54 ἐθύσαμεν τῷ Διὶ τῷ Σωτῆρι καὶ τῇ Ἀθηνᾷ καὶ (καὶ del. RSchoell) τῇ Νίκῃ, καὶ γέγονε καλὰ καὶ σωτήρια ταῦθ' ὑμῖν τὰ ἱερά. || CIA. II, 471, 14 συντ[ελ]ουμένης καὶ τῆς θυσίας τῆι Ἀθηνᾶι τῆι Νίκηι συνεπόμπευσαν (ephebi) καλῶς καὶ εὐσχημόνως βοῦν συμπέμψα[ν]τες, ἣν καὶ ἔθυσαν ἐν ἀκροπόλει τῆι θεῶι. || CIA. III, 659 ἱερέα Νίκη[ς τῆς ἐξ ἀ]κροπό[λ]εως Τίτον Φλ[ά]ουιον Τ[ί]του Φλαουίου [Ἀλ]κιβιά[δ]ου υἱὸν Ἀλ[κιβ]ιάδην Παιανιέα. || CIA. IV, *2*, 371*b* ἀνατίθησιν (Ἡράκλειτος Ἀσκληπιάδου Ἀθμονεὺς) τῆι Ἀθηνᾶι τῆι [Νίκηι γραφ]ὰς ἐχούσας ὑπομνήματα τῶν [τῶι βασιλεῖ (Antigono Gonata) π]επραγμένων πρὸς τοὺς βαρβάρους ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας. || Cf. PALLADAS app. Planud. 282 Νῖκαι πάρεσμεν, αἱ γελῶσαι παρθένοι Νίκας φέρουσαι τῇ φιλοχρήστῳ πόλει. Ἔγραψαν ἡμᾶς οἱ φιλοῦντες τὴν πόλιν, Πρέποντα Νίκαις ἐντυποῦντες σχήματα.

Ἄρτεμις Ἑκάτη] PAVSANIAS *2*, 30, 2 Ἀλκαμένης ἐμοὶ δοκεῖν πρῶτος ἀγάλματα Ἑκάτης τρία ἐποίησε προσεχόμενα ἀλλήλοις, ἣν Ἀθηναῖοι καλοῦσιν Ἐπιπυργιδίαν· ἕστηκε δὲ παρὰ τῆς Ἀπτέρου Νίκης τὸν ναόν. || HESYCHIVS Προπυλαία· ἡ Ἑκάτη. || CIA. I, 208 (traditiones quaestorum τῶν ἄλλων θεῶν complectens), 2 [Ἑρ]μο̃ καὶ Ἀρ[τ]έμιδος [Ἑ]κάτες· [π]αλαιο̃ νομ[ίσμ]ατος· [Ἐρ]ετρικόν. || CIA. II, 432 [τε̃ι Ἀρ]τέμιδι τε̃ι Φωσ[φόρωι]. | 459 τε̃ι Φωσφόρωι. | TESSERA plumbea (u. supra): Ἀρτέμιδ[ι Φ]ωσφό[ρωι]. || CIA. III (AE 2), 268 ἱερέως Χαρίτων καὶ Ἀρτέμιδος | Ἐπιπυργιδίας πυρφόρου. (cf. infra ad u. 45.) || HESYCHIVS Ἡγεμόνη· Ἄρτεμις. || AESCHYLVS suppl. 150 ἁγνά μ' Ἐπιδέτω Διὸς κόρα Ἔχουσα σέμν' ἐνώπι' ἀσφαλές· Παντὶ δὲ σθένει διωγμοῖς ἀσφαλέας Ἀδμήτας ἀδμήτα Ῥύσιος γενέσθω. 23*

ἡρῷον Αἰγέως] HARPOCRATION Αἴγειον· ἡρῷον ἐν Ἀθήναις· Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου. (cf. SVID. et ANECD. Bekk. p. 354, 8.) 29

οἴκημα ἔχον γραφάς] HARPOCRATION λαμπάς· . . . . τρεῖς ἄγουσιν Ἀθηναῖοι ἑορτὰς λαμπάδας, Παναθηναίοις καὶ Ἡφαιστίοις καὶ Προμηθείοις, ὡς Πολέμων φησὶν ἐν τῷ περὶ τῶν ἐν τοῖς Προπυλαίοις πινάκων. || cf. tab. XVII. XIX, 4. 6. 30

τήτου τόξον, ὁ δὲ ⟨Διομήδης⟩ τὴν Ἀθηνᾶν ἀφαιρούμενος ἐξ Ἰλίου. ἐνταῦθα [ἐν ταῖς γραφαῖς] **(22)** Ὀρέστης ἐστὶν Αἴγισθον φονεύων καὶ Πυλάδης τοὺς παῖδας τοὺς Ναυπλίου βοηθοὺς ἐλθόντας Αἰγίσθῳ. τοῦ δὲ Ἀχιλλέως τάφου πλησίον μέλλουσά ἐστι σφάζεσθαι Πολυξένη. Ὁμήρῳ θὲ εὖ μὲν παρείθη τόδε τὸ ὠμὸν οὕτως ἔργον, εὖ δέ μοι φαίνεται ποιῆσαι Σκῦρον ὑπὸ Ἀχιλλέως ἁλοῦσαν, οὐδὲν ὁμοίως καὶ ὅσοι λέγουσιν ὁμοῦ ταῖς παρθένοις Ἀχιλλέα ἔχειν ἐν Σκύρῳ δίαιταν, ἃ δὴ καὶ Πολύγνωτος ἔγραψεν. ἔγραψε δὲ καὶ πρὸς τῷ ποταμῷ ταῖς ὁμοῦ Ναυσικᾷ πλυνούσαις ἐφιστάμενον Ὀδυσσέα κατὰ τὰ αὐτὰ καθὰ δὴ καὶ Ὅμηρος ἐποίησε. γραφαὶ δέ εἰσι καὶ ἄλλαι 7 καὶ Ἀλκιβιάδης· ἵππων δέ οἱ νίκης τῆς ἐν Νεμέᾳ ἐστὶ σημεῖα ἐν τῇ γραφῇ. καὶ Περσεύς ἐστιν ἐς Σέριφον κομιζόμενος, Πολυδέκτῃ φέρων τὴν κεφαλὴν τὴν Μεδούσης. καὶ τὰ μὲν ἐς Μέδουσαν οὐκ εἰμὶ πρόθυμος ἐν τοῖς Ἀττικοῖς σημῆναι. ἔτι δὲ τῶν γραφῶν παρέντι τὸν παῖδα τὸν τὰς ὑδρίας φέροντα καὶ τόν παλαιστὴν ὃν Τιμαίνετος ἔγραψεν ἐστὶ Μουσαῖος. ἐγὼ δὲ ἔπη μὲν ἐπελεξάμην ἐν οἷς ἐστὶ πέτεσθαι Μουσαῖον ὑπὸ Βορέου δῶρον, δοκεῖν δέ μοι πεποίηκεν αὐτὰ Ὀνομάκριτος, καὶ ἔστιν οὐδὲν Μουσαίου βεβαίως ὅτι μὴ μόνον ἐς Δήμητρα ὕμνος Λυκομίδαις.

Κατὰ δὲ τὴν ἔσοδον αὐτὴν ἤδη τὴν ἐς ἀκρόπολιν Ἑρμῆν, ὃν Προπύλαιον ὀνομά- 8

32 ἐν ταῖς γραφαῖς seclusit Iahn | 34 Ὁμήρῳ — 38 ἐποίησε parenthesin putat GHermannus | τόδε τὸ ὠμὸν (ἐμὸν La) La Pc: τὸ δ' ὠμὸν (ἐμὸν) uel τὸ ὠμὸν uel ὠμὸν deteriores | 35 ποιῆσαι Hitzig *Weitere Beiträge* p. 5: ποιήσας libri | 37 ἔγραψε δέ] Protogenis nomen excidisse suspicatur COMueller *Handb. d. Archaeol.* p. 707 ed. 2 (§ 142, 1 ed. 3) ἔγραψε δὲ Καύνιος Πρωτογένης RRochette *lettres archéol.* I p. 47 | Ναυσικᾷ Dindorf: ναυσὶν κατα uel ναυσί καὶ τὰ codices Ναυσικάᾳ uulgo | 41 ἔτι δὲ τῶν GHermannus opusc. V p. 227: ἐπὶ δὲ τῶν codices ἔστι δὲ τῶν deleto u. 42 ἐστὶ GKayser l. l. p. 426 τῶν δὲ Schubart | 43 ὑπὸ del. Herwerden p. 51 | δῶρον] μετέωρον Emperius opusc. p. 342 | 44 Δημήτερα codices | Λυκομίδαις Meursius Att. lect. II, 19 p. 91: λυκομήδους codices meliores

34 Πολυξένη] PAVSANIAS *10*, 25, 10 ἀποθανεῖν αὐτὴν ἐπὶ τῷ Ἀχιλλέως μνήματι ποιηταί τε ᾄδουσι καὶ γραφὰς ἔν τε Ἀθήναις καὶ Περγάμῳ τῇ ὑπὲρ Καΐκου θεασάμενος οἶδα ἐχούσας ἐς τῆς Πολυξένης τὰ παθήματα. || Cf. POLLIANVS anth. Palat. app. Plan. 159 Ἅδε Πολυκλείτοιο Πολυξένα, οὐδέ τις ἄλλα Χεὶρ ἔθιγεν τούτου δαιμονίου πίνακος. Ἥρας ἔργον ἀδελφόν· ἴδ' ὡς πέπλοιο ῥαγέντος Τὰν αἰδῶ γυμνὰν σώφρονι κρύπτε † πέπλῳ (χερί Brunck νόῳ Duebner πόνῳ uel κρύπτει ὅπλῳ Iacobs). Λίσσεται ἁ τλάμων ψυχᾶς ὕπερ· ἐν βλεφάροις δὲ Παρθενικᾶς ὁ Φρυγῶν κεῖται ὅλος πόλεμος.

35 Σκῦρος] HOMERVS I 667 seq.

38 Ὅμηρος] Ζ 127 seq.

38* ἄλλαι γραφαί] PLINIVS *35*, 101 *quidam et nauis pinxisse usque ad quinquagesimum annum* (*Protogenem putant*)*; argumentum esse, quod, cum Athenis celeberrimo loco Mineruae delubri propylon pingeret, ubi fecit nobilem Parhalum* (*pharalum* Bamb.) *et Hammoniada, quam quidam Nausican uocant, adiecerit paruolas nauis longas in iis quae pictores parerga appellant, ut appareret a quibus initiis ad arcem ostentationis opera sua peruenissent.* || CICERO Verr. *4*, 135 *quid Athenienses* (*arbitramini merere uelle*)*, ut ex marmore Iacchum aut Paralum pictum aut ex aere Myronis buculam* (*amittant*)*?*

39 Ἀλκιβιάδης] SATYRVS apud Athenaeum *12* p. 534 ἀφικόμενος Ἀθήνησιν ἐξ Ὀλυμπίας (Alcibiades) δύο πίνακας ἀνέθηκεν, (Ἀριστοφῶντος τοῦ, inserebat Brunn *Gesch. d. griech. Künstler* II p. 14) Ἀγλαοφῶντος γραφήν· ὧν ὁ μὲν εἶχεν Ὀλυμπιάδα καὶ Πυθιάδα στεφανούσας αὐτόν, ἐν δὲ θατέρῳ Νεμέα (Νεμεὰς Valckenaer) ἦν καθημένη καὶ ἐπὶ τῶν γονάτων αὐτῆς Ἀλκιβιάδης, καλλίων φαινόμενος τῶν γυναικείων προσώπων. || PLVTARCHVS Alcib. 16 Ἀριστοφῶντος (Ἀγλαοφῶντος τοῦ Ἀριστ. Kroker *Gleichnam. gr. Künstler* p. 24) Νεμέαν γράψαντος ἐν ταῖς ἀγκάλαις αὐτῆς καθήμενον Ἀλκιβιάδην ἔχουσαν ἐθεῶντο καὶ συνέτρεχον χαίροντες, οἱ δὲ πρεσβύτεροι καὶ τούτοις ἐδυσχέραινον ὡς τυραννικοῖς καὶ παρανόμοις. || HARPOCRATION Νεμέας χαράδρα· .... Νεμέας αὐλητρίδος μνημονεύει Ὑπερείδης .... ὁ δὲ Πολέμων ἐν τοῖς περὶ τῆς ἀκροπόλεως παρατίθεται ψήφισμα καθ' ὃ ἀπείρητο Ἀθήνησιν ὄνομα πεντετηρίδος τίθεσθαι δούλῃ ἢ ἀπελευθέρᾳ ἢ πόρνῃ ἢ αὐλητρίδι. (cf. ATHENAEVS *13* p. 587c Νεμεάδος τῆς αὐλητρίδος.)

Ἑρμῆς Προπύλαιος] CIA. I, 208 (ad u. 23*) 45 [Ἑρ]μοῦ. || PHOENICIDES ἐν Μισουμένῃ ap. Athenaeum *14* p. 652e νὴ τὸν Προπύλαιον (Kaibel: καὶ τῶν Προπυλαίων cod.). || Cf. HESYCHIVS Ἑρμῆς Ἀμύητος· Ἀθήνησιν ἐν τῇ ἀκροπόλει. | CLEMENS ALEX. protrept. 102 τί γὰρ ἡγεῖσθε, ὦ ἄνθρωποι, τὸν Τύχωνα (Meursius Cecr. 28. Ath. II, 14: Τυφῶνα uulgo) Ἑρμῆν καὶ τὸν Ἀνδοκίδου (Heinsius: Ἀνδοκίδην ug.) καὶ τὸν Ἀμύητον; ἢ παντί τῷ δῆλον

(22) ζουσι, καὶ Χάριτας Σωκράτην ποιῆσαι τὸν Σωφρονίσκου λέγουσιν, ᾧ σοφῷ γενέσθαι μάλιστα ἀνθρώπων ἐστὶν ἡ Πυθία μάρτυς, ὃ μηδὲ Ἀνάχαρσιν ἐθέλοντα ὅμως καὶ δι' αὐτὸ ἐς Δελφοὺς ἀφικόμενον προσεῖπεν.

23 Ἕλληνες δὲ ἄλλα τε λέγουσι καὶ ἄνδρας ἑπτὰ γενέσθαι σοφούς. τούτων καὶ τὸν Λέσβιον τύραννον καὶ Περίανδρον εἶναί φασι τὸν Κυψέλου· καίτοι Περιάνδρου Πεισίστρατος καὶ ὁ παῖς Ἱππίας φιλάνθρωποι μᾶλλον καὶ σοφώτεροι τά τε πολεμικὰ ἦσαν καὶ ὅσα ἧκεν ἐς κόσμον τῶν πολιτῶν, ἐς ὃ διὰ τὸν Ἱππάρχου θάνατον Ἱππίας ἄλλα τε ἐχρήσατο θυμῷ καὶ ἐς γυναῖκα
2 ὄνομα Λέαιναν. ταύτην γάρ, ἐπεί τε ἀπέθανεν Ἵππαρχος, (λέγω δὲ οὐκ ἐς συγγραφὴν πρότερον ἥκοντα, πιστὰ δὲ ἄλλως Ἀθηναίων τοῖς πολλοῖς) Ἱππίας εἶχεν ἐν αἰκίᾳ ἐς ὃ διέφθειρεν, οἷα ἑταίραν Ἀριστογείτονος ἐπιστάμενος οὖσαν καὶ τὸ βούλευμα οὐδαμῶς ἀγνοῆσαι δοξάζων. ἀντὶ δὲ τούτων, ἐπεὶ τυραννίδος ἐπαύθησαν οἱ Πεισιστρατίδαι, χαλκῆ λέαινα Ἀθηναίοις ἐστὶν ἐς μνήμην

1 καὶ ⟨Πίττακον⟩ τὸν Wieseler *Gött. Nachr.* 1885 p. 320 | 4 ⟨ἐς⟩ ἄλλα Westermann comm. crit. I p. 9

ὅτι λίθους; ὥσπερ καὶ τὸν Ἑρμῆν. | DIOGENIANVS prouerb. 4, 63 Ἑρμῆς Ἀμύητος· ἐπὶ τῶν μᾶλλον ἔν τισιν ἐμπείρων. χλευαστικὴ δὲ ἡ παροιμία. || num huc pertinet basis prope portam Beuleanam inaedificata? CIA. IV, *1*, 482 (p. 156) Ἑρμεῖ [καλὸν] ἄγαλμ' ἀ[ρετῆς] χάριν ὅς [μ' ἀνέ]θεκεν, Οἰν[όβιο]ς κῆρυχς μ[νεμ]οσύνες ἕ[νεκα].

46 Χάριτες] CIA. III (AE 2), 268 ἱερέως Χαρίτων καὶ Ἀρτέμιδος Ἐπιπυργιδίας πυρφόρου. || PAVSANIAS *9*, 35, 2 ἐοικότα μὲν δὴ Χάρισιν ὀνόματα καὶ ταῦτα, ἐοικότα δὲ καὶ παρ' Ἀθηναίοις· τιμῶσι γὰρ ἐκ παλαιοῦ καὶ Ἀθηναῖοι Χάριτας Αὐξὼ καὶ Ἡγεμόνην (HESYCHIVS Ἡγεμόνη· Ἄρτεμις. καὶ Ἀφροδίτη. cf. CIA. IV, *2*, 1663c)· τὸ γὰρ τῆς Καρποῦς ἐστιν οὐ Χάριτος ἀλλὰ Ὥρας ὄνομα, τῇ δὲ ἑτέρᾳ τῶν Ὡρῶν νέμουσιν ὁμοῦ τῇ Πανδρόσῳ τιμὰς οἱ Ἀθηναῖοι, Θαλλὼ τὴν θεὸν ὀνομάζοντες. 3 καὶ Ἀθήνησι πρὸ τῆς ἐς τὴν ἀκρόπολιν ἐσόδου Χάριτές εἰσι καὶ αὗται τρεῖς· παρὰ δὲ αὐταῖς τελετὴν ἄγουσιν ἐς τοὺς πολλοὺς ἀπόρρητον. || cf. tab. XXXV, 17. 18.

46a Σωκράτης] PAVSANIAS *9*, 35, 7 Σωκράτης ὁ Σωφρονίσκου πρὸ τῆς ἐς τὴν ἀκρόπολιν ἐσόδου Χαρίτων εἰργάσατο ἀγάλματα Ἀθηναίοις. καὶ ταῦτα (Gratiarum signa antea enumerata) μέν ἐστιν ὁμοίως ἅπαντα ἐν ἐσθῆτι. || DIOGENES LAERTIVS *2*, 19 Δοῦρις καὶ δουλεῦσαι αὐτὸν (Socratem) καὶ ἐργάσασθαι λίθους· εἶναί τε αὐτοῦ καὶ τὰς ἐν ἀκροπόλει Χάριτας ἔνιοί φασιν, ἐνδεδυμένας οὔσας. | SVIDAS Σωκράτης .... πρότερον γενόμενος λιθοξόος, ὥστε καί φασιν αὐτοῦ ἔργον εἶναι τὰς Ἀθήνησιν ἐνδεδυμένας Χάριτας. || PLINIVS *36*, 32 *non postferuntur et Charites in propylo Atheniensium quas Socrates fecit, alius ille quam pictor, idem ut aliqui putant.* || TZETZES schol. Aristoph. nub. 773 (cod. Ambros. C 222 inf.) ... Σωφρονίσκου γὰρ λιθοξόου ὢν υἱὸς ὁ Σωκράτης καὶ τῆς λαξευτικῆς τῶν λίθων μετέσχηκε τέχνης καὶ ἀνδριάντας λιθίνους ἐλάξευε, καὶ ἀγάλματα δὲ τῶν τριῶν Χαρίτων εἰργάσατο, Πειθοῦς Ἀγλαΐας Θαλείας, ἃ ἦσαν ὄπισθε τῆς Ἀθηνᾶς ἐγγεγλυμμένα τῷ τοίχῳ. | aliud SCHOLION recens (*Arch. Zeit.* 1869 p. 60) οὐχ ἁπλῶς ὄμνυσι (Socrates) νῦν τὰς Χάριτας, ἀλλ' ὅτι ὀπίσω μὲν τῆς Ἀθηνᾶς ἦσαν γεγλυμμέναι ἐν τῷ τοίχῳ· ἐλέγετο δὲ ὅτι ὁ Σωκράτης ταύτας ἔγλυψεν.

λέαινα] PLINIVS *34*, 72 *Amphicrates* 8
leaena laudatur. scortum haec lyrae cantu familiaris Harmodio et Aristogitoni consilia eorum de tyrannicidio usque in mortem excruciata a tyrannis non prodidit, quam ob rem Athenienses, et honorem ei habere uolentes nec tamen scortum celebrasse, animal nominis eius fecere atque, ut intellegeretur causa honoris, in opere linguam addi ab artifice uetuerunt (cf. 7, 87) || CICERO de gloria *2* fr. 3 (ap. Philargyrium ad Verg. bucol. 2, 63) *statuerunt aeream leaenam.* || PLVTARCHVS de garrul. 8 καλὸν δὲ καὶ Λέαινα τῆς ἐγκρατείας ἔχει γέρας. ἑταίρα τῶν περὶ Ἁρμόδιον ἦν καὶ Ἀριστογείτονα καὶ τῆς ἐπὶ τοὺς τυράννους συνωμοσίας ἐκοινώνει ταῖς ἐλπίσιν ὡς γυνή· καὶ γὰρ αὐτὴ περὶ τὸν καλὸν ἐκεῖνον ἐβάκχευσε κρατῆρα τοῦ ἔρωτος καὶ κατωργίαστο διὰ τοῦ θεοῦ τοῖς ἀπορρήτοις. ὡς οὖν ἐκεῖνοι πταίσαντες ἀνῃρέθησαν, ἀνακρινομένη καὶ κελευομένη φράσαι τοὺς ἔτι λανθάνοντας οὐκ ἔφρασεν ἀλλ' ἐνεκαρτέρησεν, ἐπιδείξασα τοὺς ἄνδρας οὐδὲν ἀνάξιον ἑαυτῶν παθόντας, εἰ τοιαύτην ἠγάπησαν. Ἀθηναῖοι δὲ χαλκῆν ποιησάμενοι λέαιναν ἄγλωσσον ἐν πύλαις τῆς ἀκροπόλεως ἀνέθηκαν, τῷ μὲν θυμοειδεῖ τοῦ ζῴου τὸ ἀήττητον αὐτῆς, τῷ δ' ἀγλώσσῳ τὸ σιωπηρὸν καὶ μυστηριῶδες ἐμφαίνοντες. || POLYAENVS *8*, 45 ἦν γὰρ Ἀριστογείτονι ἑταίρα ὄνομα Λέαινα· Ἱππίας τὴν Λέαιναν συλλαβὼν ἐβασάνισεν ἐφ' ᾧ τε ἐξειπεῖν τοὺς κοινωνήσαντας τῆς ἐπιθέσεως. ἡ δὲ πλεῖστον ὅσον ἀντεῖχεν, ἐκνικωμένη δὲ ὑπὸ τῶν βασάνων, ἵνα μὴ ἐξείποι, αὐτὴ τὴν αὑτῆς

τῆς γυναικός, παρὰ δὲ αὐτὴν ἄγαλμα Ἀφροδίτης, ὃ Καλλίου τέ φασιν ἀνάθημα εἶναι καὶ ἔργον (23) Καλάμιδος.

Πλησίον δέ ἐστι Διιτρέφους χαλκοῦς ἀνδριὰς ὀιστοῖς βεβλημένος. οὗτος ὁ Διιτρέφης 3 ἄλλα τε ἔπραξεν ὁπόσα λέγουσιν Ἀθηναῖοι, καὶ Θρᾶκας μισθωτοὺς ἀφικομένους ὕστερον ἢ Δημοσθένης ἐς Συρακούσας ἐξέπλευσε, τούτους ὡς ὑστέρησαν ὁ Διιτρέφης ἀπῆγεν ὀπίσω. καὶ δὴ κατὰ τὸν Χαλκιδικὸν ἔσχεν Εὔριπον, ἔνθα Βοιωτῶν ἐν μεσογαίᾳ πόλις Μυκαλησσὸς ἦν· ταύτην ἐπαναβὰς ἐκ θαλάσσης ὁ Διιτρέφης εἷλε. Μυκαλησσίων δὲ οὐ μόνον τὸ μάχιμον οἱ Θρᾷκες, ἀλλὰ καὶ γυναῖκας ἐφόνευσαν καὶ παῖδας. μαρτυρεῖ δέ μοι· Βοιωτῶν γὰρ ὅσους ἀνέστησαν Θηβαῖοι ᾠκοῦντο αἱ πόλεις ἐπ' ἐμοῦ, διαφυγόντων ὑπὸ τὴν ἅλωσιν τῶν ἀνθρώπων. εἰ δὲ καὶ Μυκαλησσίοις οἱ βάρβαροι μὴ πᾶσιν ἀποκτείνοντες ἐπεξῆλθον, ὕστερον ἂν τὴν πόλιν ἀνέλαβον οἱ λειφθέντες. τοσοῦτον μὲν παρέστη μοι θαῦμα ἐς τὴν εἰκόνα τοῦ Διιτρέφους, ὅτι ὀιστοῖς ἐβέ- 4 βλητο, Ἕλλησιν ὅτι μὴ Κρησὶν οὐκ ἐπιχώριον ὂν τοξεύειν. Λοκροὺς γὰρ τοὺς Ὀπουντίους ὁπλιτεύοντας ἤδη κατὰ τὰ Μηδικὰ ἴσμεν, οὓς Ὅμηρος ἐποίησεν ὡς φερόμενοι τόξα καὶ σφενδόνας ἐς Ἴλιον ἔλθοιεν. οὐ μὴν οὐδὲ Μαλιεῦσι παρέμεινε μελέτη τῶν τόξων· δοκῶ δὲ οὔτε πρότερον ἐπίστασθαι σφᾶς πρὶν ἢ Φιλοκτήτην, παύσασθαί τε οὐ διὰ μακροῦ.

Τοῦ δὲ Διιτρέφους πλησίον (τὰς γὰρ εἰκόνας τὰς ἀφανεστέρας γράφειν οὐκ ἐθέλω) θεῶν ἀγάλματά ἐστιν Ὑγιείας τε, ἣν Ἀσκληπιοῦ παῖδα εἶναι λέγουσι, καὶ Ἀθηνᾶς ἐπίκλησιν καὶ ταύτης Ὑγιείας.

11. 13. 15. 19. 24 Διιτρέφους et Διιτρέφης Bergk in Meinekii FC. II p. 1069: διιτρεφοῦς et διιτρεφής codices | βεβλημένου Bergk | 12 ⟨τὰ ἐς τοὺς⟩ Θρᾷκας μισθωτοὺς ⟨τοὺς⟩ — ἐξέπλευσε. τούτους Wieseler p. 321 15 ἐπαναβὰς Letronne *Class. journ.* XIII, 1816, p. 325 coll. Thucyd. 7, 29, 3: ἐσαναβὰς codices | 17 ὑπὸ codices meliores: ἐπὶ deteriores | 18 ἀποκτείναντες La Pcd | ἀνέλαβον Bekker; ἀπέλαβον codices | 22 οὐδὲ πρότερον Coraes | 25 ἀγάλματα Riccardianus Clauerius: ἄγαλμα codices | 25. 26 ὑγίας uel ὑγείας codices

γλῶτταν ἀπέδακεν. Ἀθηναῖοι τὴν ἑταίραν τιμῆσαι θέλοντες αὐτὴν μὲν οὐκ ἔστησαν ἐν ἀκροπόλει, τὸ δὲ ζῷον τὴν λέαιναν χαλκῆν δημιουργήσαντες ἀνέθηκαν [εἴ τις ἀνῆλθεν εἰς ἀκρόπολιν, ἑώρακεν ἐν τῷ Προπυλαίῳ τὴν λέαιναν χαλκῆν] γλῶσσαν οὐκ ἔχουσαν, ὑπόμνημα τοῦ διηγήματος (εἴ τις — χαλκῆν et ὑπόμν. τοῦ διηγ. seclusit Hercher *Herm.* IX p. 113).

9 ἄγαλμα Ἀφροδίτης] CIA. I, 392 (IV, *1*, p. 44) basis marmoris Pentelici olim prope orientalem Propylaeorum porticum iacens: Καλλίας Ἱππονίκο ἀνέθ[εκ[ε]ν. || Cf. LVCIANVS imag. 4 ἐκεῖνο μέν γε, ὦ Πολύστρατε, οὐκ ἐξερήσομαί σε, εἰ πολλάκις ἐς τὴν ἀκρόπολιν ἀνελθὼν καὶ τὴν Καλάμιδος Σωσάνδραν τεθέασαι. | ib. 6 ἡ Σωσάνδρα δὲ καὶ ὁ Κάλαμις αἰδοῖ κοσμήσουσιν αὐτήν, καὶ τὸ μειδίαμα σεμνὸν καὶ λεληθὸς ὥσπερ τὸ ἐκείνης ἔσται· καὶ τὸ εὐσταλὲς δὲ καὶ κόσμιον τῆς ἀναβολῆς παρὰ τῆς Σωσάνδρας, πλὴν ὅτι ἀκάλυπτος αὕτη ἔσται τὴν κεφαλήν. | dial. meretr. 3, 2 ἡ Θαῒς δὲ ἀναστᾶσα ὠρχήσατο πρώτη ἀπογυμνοῦσα ἐπὶ πολὺ τὰ σφυρὰ ὡς μόνη καλὰ ἔχουσα, καὶ ἐπειδὴ ἐπαύσατο, ὁ Λαμπρίας μὲν ἐσίγα καὶ εἶπεν οὐδέν, Δίφιλος δὲ ὑπερεπῄνει τὸ εὔρυθμον καὶ τὸ κεχορηγημένον, καὶ ὅτι εὖ πρὸς τὴν κιθάραν ὁ πούς, καὶ τὸ σφυρὸν ὡς καλόν, καὶ ἄλλα μυρία, καθάπερ τὴν Καλάμιδος Σωσάνδραν ἐπαινῶν ἀλλ' οὐχὶ Θαΐδα.

Διιτρέφης] THVCYDIDES 7, 29. *8*, 64. || CIA. 11 I, 402 basis m. Pent. eruta in arce: Ἑρμόλυκος | Διειτρέφος | ἀπαρχέν. | Κρεσίλας | ἐπόεσεν. || Cf. PLINIVS 34, 74 *Cresilas (fecit) uolneratum deficientem, in quo possit intellegi quantum restet animae, et Olympium Periclen dignum cognomine, mirumque in hac arte est quod nobiles uiros nobiliores fecit.*

Ὅμηρος] N, 716 seq. 21

εἰκόνες ἀφανέστεραι] VITAE X ORAT. 24 p. 839 D (ex Heliodoro, AA 156) τῆς δὲ μητρὸς [αὐτῶν] Ἰσοκράτους καὶ Θεοδώρου καὶ τῆς ταύτης ἀδελφῆς Νακοῦς (Keil *Herm.* XXX p. 303[2]: Ἀνακοῦς ug.) εἰκόνες ἀνέκειντο ἐν ἀκροπόλει, ὧν ἡ τῆς μητρὸς παρὰ τὴν Ὑγίειαν νῦν κεῖται μετεπιγεγραμμένη, ἡ δὲ Νακοῦς οὐ σῴζεται.

Ὑγίεια] HYPERIDES pro Euxenippo 19 Bl. 25 δεινὰ ἐποίησεν (Εὐξένιππος) περὶ τὴν φιάλην, ἐάσας Ὀλυμπιάδα ἀναθεῖναι εἰς τὸ ἄγαλμα τῆς Ὑγιείας. | 26 οὐ γὰρ δήπου Ὀλυμπιάδι μὲν τὰ Ἀθήνησιν ἱερὰ ἐπικοσμεῖν ἔξεστιν, ἡμῖν δὲ τὰ ἐν Δωδώνῃ οὐκ ἐξέσται. || Cf. CIA. III, 460 basis marm. Hym. reperta in orientali Propylaeorum parte Σεβαστῇ Ὑγείᾳ (Liuiae).

Ἀθηνᾶ Ὑγίεια] ARISTIDES 37, 20 (*2* p. 22 D.) 25* Ἀθηναίων οἱ πρεσβύτατοι καὶ Ὑγιείας Ἀθηνᾶς βωμὸν ἱδρύσαντο. || HARPOCRATION Ὑγεία Ἀθηνᾶ· Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. ἔστι δὲ ἐπώνυμον

(23) 5 Ἔστι δὲ λίθος οὐ μέγας, ἀλλ' ὅσον καθίζεσθαι μικρὸν ἄνδρα· ἐπὶ τούτῳ λέγουσιν, ἡνίκα Διόνυσος ἦλθεν ἐς τὴν γῆν, ἀναπαύσασθαι τὸν Σιληνόν· τοὺς γὰρ ἡλικίᾳ τῶν Σατύρων προήκοντας ὀνομάζουσι Σιληνούς. περὶ δὲ Σατύρων, οἵτινές εἰσιν, ἑτέρου πλέον ἐθέλων ἐπίστασθαι πολλοῖς ναύταις τούτων ἕνεκα ἐς λόγους ἦλθον. ἔφη δὲ Εὔφημος Κὰρ ἀνὴρ πλέων ἐς Ἰταλίαν ἁμαρτεῖν ὑπὸ ἀνέμων τοῦ πλοῦ καὶ ἐς τὴν ἔξω θάλασσαν, ἐς ἣν οὐκέτι πλέουσιν, ἐξενεχθῆναι.
6 νήσους δὲ εἶναι μὲν ἔλεγεν ἐρήμους πολλάς, ἐν δὲ ἄλλαις οἰκεῖν ἄνδρας ἀγρίους· ταύταις δὲ οὐκ ἐθέλειν νήσοις προσίσχειν τοὺς ναύτας, οἷα πρότερόν τε προσσχόντας καὶ τῶν ἐνοικούντων οὐκ ἀπείρως ἔχοντας, βιασθῆναι δ' οὖν καὶ τότε. ταύτας καλεῖσθαι μὲν ὑπὸ τῶν ναυτῶν Σατυρίδας, εἶναι δὲ τοὺς ἐνοικοῦντας καπυροὺς καὶ ἵππων οὐ πολὺ μείους ἔχειν ἐπὶ τοῖς ἰσχίοις οὐράς. τούτους, ὡς ᾔσθοντο, καταδραμόντας ἐπὶ τὴν ναῦν φωνὴν μὲν οὐδεμίαν ἱέναι, ταῖς δὲ γυναιξὶν ἐπιχειρεῖν ταῖς ἐν τῇ νηί· τέλος δὲ δείσαντας τοὺς ναύτας βάρβαρον γυναῖκα ἐκβαλεῖν ἐς τὴν νῆσον. ἐς ταύτην οὖν ὑβρίζειν τοὺς Σατύρους, οὐ μόνον ᾗ καθέστηκεν, ἀλλὰ κατὰ τὸ πᾶν ὁμοίως σῶμα.

7 Καὶ ἄλλα ἐν τῇ Ἀθηναίων ἀκροπόλει θεασάμενος οἶδα, Λυκίου ⟨τε⟩ τοῦ Μύρωνος χαλκοῦν παῖδα ὃς τὸ περιρραντήριον ἔχει, καὶ Μύρωνος Περσέα τὸ ἐς Μέδουσαν ἔργον εἰργασμένον.

Καὶ Ἀρτέμιδος ἱερόν ἐστι Βραυρωνίας. Πραξιτέλους μὲν τέχνη τὸ ἄγαλμα, τῇ θεῷ δέ ἐστιν ἀπὸ Βραυρῶνος δήμου τὸ ὄνομα· καὶ τὸ ἀρχαῖον ξόανόν ἐστιν ἐν Βραυρῶνι, Ἄρτεμις ὡς λέγουσιν ἡ Ταυρική.

27 μικρὸν corruptum putant Schubart et Walz, delet Iahn | 30 ναύταις Schubart *Jahrb. f. Philol.* CXI p. 415: αὐτῶν codices ζητῶν Wieseler p. 321 | 32 ἄλλαις — ταύταις Clauerius: ταύταις — ἄλλαις codices ταύταις — ἄλλως Wieseler *Philol.* XXVI p. 354 | 33 νήσοις] νηὶ Wieseler. ἄλλως ⟨ταῖς⟩ νήσοις Hitzig | 35 καπυροὺς Schaefer ad Longum p. 355: καὶ πυροὺς codices plerique καὶ καπυρροὺς Mosq. Monac. καταπύρρους Siebelis καταπύγους Wieseler *Gött. Nachr.* p. 322 πυρροὺς Clauerius | 38 κατὰ Wieseler p. 322: καὶ codices | 40 τε ins. Michaelis καὶ Λυκίου Benndorf

τῆς Ἀθηνᾶς· καὶ γὰρ Ὑγεία καλεῖται καὶ Νίκη καὶ Ἱππία καὶ Ἐργάνη. (cf. SVIDAS PHOTIVS ETYMOL. M.) || *Ath. Mitth.* 1891 p. 154 fragmentum uasculi saec. VI exeuntis uel V ineuntis rubris figuris picti [Ἀ]θενα[ίαι Ὑ]γιεί[αι Κ]άλλις ἐποίεσ[ε] καὶ ἀνέθ[εκεν]. || CIA. IV, *1*, 362 (p. 154) - - [Ἀθεναί]αν (?) [Ὑ]γίεια[ν]. || CIA. II, 163 (AE 34), 8 [θ]ύειν τοὺς ἱεροποιοὺς τὰς μὲν δύο [θυσίας τήν τε τῆι] Ἀθηνᾶι τῆι Ὑγιείαι καὶ τὴν ἐν τῶι Ἀρ[είωι πάγωι θυο]μένην καθάπερ πρότερον κ. τ. λ. || Cf. tab. XXXVIII, 2, L.

25** CIA. I, 335 basis semirotunda m. Pent. ad angulum porticus orientalis Propylaeorum inter meridiem et occasum situm suo loco reperta (tab. XXXVIII, 2—4) Ἀθεναῖοι τει Ἀθεναίαι τει Ὑγιείαι. | Πύρρος ἐποίησεν Ἀθεναῖος. (Ἀθεναῖος uocabulum postea additum uidetur.) || PLINIVS *34*, 80 *Pyrrhus* (fecit) *Hygiam et* (*et* del. Ross *Arch. Aufs.* I p. 190) *Mineruam.* || PLVTARCHVS Pericl. 13 τὰ προπύλαια τῆς ἀκροπόλεως ἐξειργάσθη ..... ὁ ἐνεργότατος καὶ προθυμότατος τῶν τεχνιτῶν ἀποσφαλεὶς ἐξ ὕψους ἔπεσε καὶ διέκειτο μοχθηρῶς, ὑπὸ τῶν ἰατρῶν ἀπεγνωσμένος. ἀθυμοῦντος δὲ τοῦ Περικλέους ἡ θεὸς ὄναρ φανεῖσα συνέταξε θεραπείαν, ᾗ χρώμενος ὁ Περικλῆς ταχὺ καὶ ῥᾳδίως ἰάσατο τὸν ἄνθρωπον. ἐπὶ τούτῳ δὲ καὶ τὸ χαλκοῦν ἄγαλμα τῆς Ὑγιείας Ἀθηνᾶς ἀνέστησεν ἐν ἀκροπόλει παρὰ τὸν βωμόν, ὃς καὶ πρότερον ἦν ὡς λέγουσιν.

Λύκιος] cf. PLINIVS *34*, 79 *Lycius Myronis discipulus fuit, qui fecit dignum praeceptore puerum sufflantem languidos ignes et Argonautas, ... Lycius et ipse puerum suffitorem.* || ATHENAEVS *II* p. 486d ἦν δὲ οὗτος (Lycius) τὸ γένος Βοιώτιος ἐξ Ἐλευθερῶν, υἱὸς Μύρωνος τοῦ ἀνδριαντοποιοῦ, ὥς Πολέμων φησὶν ἐν πρώτῳ περὶ ἀκροπόλεως. fortasse huc pertinet propter φιάλας Λυκιουργεῖς, quod idem ATHENAEVS *II* p. 472b affert: Πολέμων δ' ἐν πρώτῃ περὶ τῆς Ἀθήνησιν ἀκροπόλεως οὐδετέρως ὠνόμασεν (τὰ Θηρίκλεια) εἰπών "τὰ χρυσᾶ Θηρίκλεια Νεοπτόλεμος ἀνέθηκεν". 40

Περσεύς] PLINIVS *34*, 57 (Myron) *fecit ..... et Perseum et pristas* (*pyctas* Loeschcke obseru. archaeol. p. 9). || Cf. CATVLLVS 55, 25 *non Ladas ego pinnipesue Perseus.* 41

Βραυρώνιον] CIA. II, 728, *A*, 31 ἐν τῶι Βραυρ[ωνίωι]. | CIA. IV, *2*, 843*c*, 10 τὸ Ἀρτεμίσιον. || CIA. II, 751, *b*, 7. 12 πρὸς τῶι τοίχωι. | 754—756 κάτροπτον ἐλεφαντίνην λαβὴν ἔχον, πρὸς τῶι τοίχωι. | 751, *b*, 13. II, *b*, 24 ἐν τῶι [π]ροστ[ώιωι]? | 751, *B*, *d*, 13. 758, III, 32 πρὸς τῆι παραστάδι. | *A*, I, *b*, 10 [πρὸς τ]ῶι κίονι οὗ ἡ ἔλαφος. | 763, I, 14 πρὸ[ς τῆι] ἐλάφωι. || CIA. II, 162 (p. 411) τῶν [ἱ]ερῶν τῆς Ἀρτέμιδο[ς τ]ῆς Βραυρωνίας (cf. CIA. II, 751 seqq.), e quibus aurea et argentea in catalogis Parthenonis (646) et Hecatompedi (652. 660. 42

Ἵππος δὲ ὁ καλούμενος δούριος ἀνάκειται χαλκοῦς. καὶ ὅτι μὲν τὸ ποίημα τὸ 8(23)
Ἐπειοῦ μηχάνημα ἦν ἐς διάλυσιν τοῦ τείχους, οἶδεν ὅστις μὴ πᾶσαν ἐπιφέρει τοῖς Φρυξὶν εὐήθειαν· λέγεται δὲ ἔς τε ἐκεῖνον τὸν ἵππον ὡς τῶν Ἑλλήνων ἔνδον ἔχοι τοὺς ἀρίστους, καὶ δὴ καὶ τοῦ χαλκοῦ τὸ σχῆμά ἐστι κατὰ ταὐτά· καὶ Μενεσθεὺς καὶ Τεῦκρος ὑπεκκύπτουσιν ἐξ αὐτοῦ, προσέτι δὲ καὶ οἱ παῖδες οἱ Θησέως.

Ἀνδριάντων δὲ ὅσοι μετὰ τὸν ἵππον ἑστήκασιν * * Ἐπιχαρίνου δὲ ὁπλιτοδρομεῖν ἀσκή- 9
σαντος τὴν εἰκόνα ἐποίησε Κριτίας, Οἰνοβίῳ δὲ ἔργον ἐστὶν ἐς Θουκυδίδην τὸν Ὀλόρου χρηστόν· ψήφισμα γὰρ ἐνίκησεν Οἰνόβιος κατελθεῖν ἐς Ἀθήνας Θουκυδίδην, καί οἱ δολοφονηθέντι ὡς κατῄει

45 δούρειος Dindorf | 48 ταυτα La ταῦτα deteriores | ὑπεκκύπτουσιν Bursian *N. rhein. Mus.* X p. 517: ὑπερκύπτουσιν codices | 50 lacunam indicauit Hitzig | δὲ codices plerique: μὲν Pa in margine | 51 Κρίτιος Ross *Arch. Aufs.* I p. 164. Κριτίας, ⟨Οἰνοβίου δὲ Κρησίλας·⟩ Οἰνοβίῳ δὲ Bergk *Ztschr. f. Alt.-Wiss.* 1845 p. 965

661. IV, *2*, 652*b*), alia sine certa indicatione loci (673. 679. 681. 683. 699. 726. 737. IV, *2*, 672*c*) recensentur, alia in Opisthodomo (660), aerea in armamentario (χαλκοθήκη) seruabantur (720. 721). || HESYCHIVS Βραυρώνια· ἑορτὴ Ἀρτέμιδι Βραυρωνίᾳ ἄγεται, καὶ θύεται αἴξ. | VARRO de re rust. *1*, 2, 19 *hoc nomine etiam Athenis in arcem* (capram) *non inigi, praeterquam semel ad necessarium sacrificium, ne arbor olea, quae primum dicitur ibi nata, a capra tangi possit.* || HESYCHIVS μελεαγρίδες· ὄρνεις αἳ ἐνέμοντο ἐν τῇ ἀκροπόλει. (SVIDAS.) || Cf. tab. XVI, 3.

42 ἀγάλματα] CIA. II, 751—758. Ol. 118, 2 = 347/6 χιτῶνα Ἀμόργινον, περὶ τῶι ἕδει (754—756). || Ol. 118, 3 = 346/5 ἱμάτιον λευκὸν παραλουργές, τοῦτο τὸ λίθινον ἕδος ἀμπέχεται (754—756). || Ol. 118, 4 = 345/4 ἀμπέχονον, "Ἀρτέμιδος ἱερόν" ἐπιγέγραπται, περὶ τῶι ἕδει τῶι ἀρχαίωι, Θεανώ· ἀμπέχονον, περὶ τῶι ἕδει τῶι ἀρχαίωι, Πεντετηρίς· Ταραντῖνον, περὶ τῶι ἕδει τῶι ἀρχαίωι, Θεανώ· κατάστικτον διπτέρυγον, περὶ τῶι ἕδει τῶι ἀρχαίωι· .... χιτωνίσκος κτενωτὸς περιποίκιλος, περὶ τῶι ἀγάλματι τῶι ὀρθῶι (751. 754—756). || Ol. 111, 2 = 335/4 κροκωτόν διπλοῦν ποικίλην τὴν πε[ζίδα ἔχον - - τὸ ἄγαλ]μα τὸ ὀρθὸν ἔχει (757). || post hunc annum κάνδυν, τὸ ἄγαλμα ἔχει (758 bis. 759). | ? ἱμάτιον λευκ(όν), περὶ τῶι ἀγάλματι, ῥάκος· ἔνκυκλον λευκ(ὸν) ἀνεπίγραφ(ον), περὶ τῶι ἀγάλματι τῶι ἑστηκότι, ῥάκος - - χιτωνίσκον περιήγη(τον), περὶ τῶι ἀγάλματι (758).

43 τὸ ἀρχαῖον ξόανον] PAVSANIAS *1*, 33, 1 Βραυρών, ἔνθα Ἰφιγένειαν τὴν Ἀγαμέμνονος ἐκ Ταύρων φεύγουσαν τὸ ἄγαλμα ἀγομένην τὸ Ἀρτέμιδος ἀποβῆναι λέγουσι, καταλιποῦσαν δὲ τὸ ἄγαλμα ταύτῃ καὶ ἐς Ἀθήνας καὶ ὕστερον ἐς Ἄργος ἀφικέσθαι. ξόανον μὲν δὴ καὶ αὐτόθι ἐστὶν Ἀρτέμιδος ἀρχαῖον· τὸ δὲ ἐκ τῶν βαρβάρων οἵτινες κατὰ γνώμην ἔχουσι τὴν ἐμήν, ἐν ἑτέρῳ λόγῳ δηλώσω. | *8*, 46, 3 βασιλέα τε τῶν Περσῶν Ξέρξην τὸν Δαρείου χωρὶς ἢ ὅσα ἐξεκόμισε τοῦ Ἀθηναίων ἄστεως, τοῦτο μὲν ἐκ Βραυρῶνος ἄγαλμα ἴσμεν τῆς Βραυρωνίας λαβόντα Ἀρτέμιδος, τοῦτο δὲ κ. τ. λ. | *3*, 16, 8 Ἀθηναίοις δὲ ἄρα παρώφθη (signum Brauronium) γενόμενον λάφυρον τῷ Μήδῳ· τὸ γὰρ ἐκ Βραυρῶνος ἐκομίσθη τε ἐς Σοῦσα καὶ ὕστερον Σελεύκου δόντος Σύροι Λαοδικεῖς ἐφ' ἡμῶν ἔχουσι. μαρτύρια δέ μοι καὶ τάδε τὴν ἐν Λακεδαίμονι Ὀρθίαν τὸ ἐκ τῶν βαρβάρων εἶναι ξόανον κ. τ. λ.

ἵππος δούριος] CIA. I, 406 basis maxima e 45 sex marmoribus olim composita (cf. tab. XXXVIII, 13) quorum duo titulum exhibent: Χαιρέδεμος Εὐαγγέλο | ἐκ Κοίλες ἀνέθεκεν. | Στρογγυλίον ἐποίεσεν. || ARISTOPHANES au. (Ol. 91, 2 = 414) 1128 ἵππων ὑπόντων μέγεθος ὅσον ὁ δούριος. | SCHOLION οὐ πιθανὸν κοινῶς λέγειν αὐτόν, ἀλλὰ περὶ τοῦ χαλκοῦ τοῦ ἐν ἀκροπόλει. ἀνέκειτο γὰρ ἐν ἀκροπόλει δούριος ἵππος ἐπιγραφὴν ἔχων "Χαιρέδημος Εὐαγγέλου ἐκ Κοίλης ἀνέθηκε". || HESYCHIVS δούριος ἵππος· Ἀθήνησιν ἐν ἀκροπόλει χαλκοῦς ἐστιν, καὶ ἐξ αὐτοῦ ἐκκύπτουσι δ'. || Cf. PAVSANIAS *9*, 30, 1 Στρογγυλίωνος .... ἀνδρὸς βοῦς καὶ ἵππους ἄριστα εἰργασμένου. || ANTIPHILVS BYZANTIVS anthol. Pal. 9, 156 Δέρκεο τὸν Τροίας δεκέτη λόχον, εἴσιδε πῶλον Εὐόπλου Δαναῶν ἔγκυον ἡσυχίης. Τεκταίνει μὲν Ἐπειός, Ἀθηναίη δὲ κελεύει Ἔργον, ὑπὲκ νώτου δ' Ἑλλὰς ὅλα δύεται. Ἦ ῥα μάταν ἀπόλοντο, τόσος στρατός, εἰ πρὸς Ἄρηα Ἦν δόλος Ἀτρείδαις ἐσθλότερος πολέμου.

Ἐπιχαρῖνος] CIA. I, 376 basis m. Pentel. 50 reperta inter Propylaea et Parthenonem: Ἐπι[χ]αρῖνος [ἀνέ]θεκεν ὁ ΟΟ..Ο - - (Ὀθρυονέος Wilamowitz *Herm.* XII p. 345, ὁπλιτοδρόμος perperam Ross *Arch. Aufs.* I p. 164). | Κριτίος καὶ Νεσ[ι]ότες ἐπο[ιεσ]άτεν.

Οἰνόβιος] cf. CIA. IV, *1*, 51, 27 (p. 16) Οἰνοβίοι Δεκελεεῖ στρατεγôι κ. τ. λ. 51

Θουκυδίδης] PLINIVS 7, 110 *Thucydiden imperatorem Athenienses in exilium egere, rerum conditorem reuocauere, eloquentiam mirati cuius uirtutem damnauerant.* || MARCELLINVS uita Thucyd. 17 πρὸς 52

(23) μνῆμά ἐστιν οὐ πόρρω πυλῶν Μελιτίδων. τὰ δὲ ἐς Ἑρμόλυκον τὸν παγκρατιαστὴν καὶ Φορμίωνα τὸν Ἀσωπίχου γραψάντων ἑτέρων παρίημι· ἐς δὲ Φορμίωνα τοσόνδε ἔχω πλέον γράψαι. Φορμίωνι γὰρ τοῖς ἐπιεικέσιν Ἀθηναίων ὄντι ὁμοίῳ καὶ ἐς προγόνων δόξαν οὐκ ἀφανεῖ συνέβαινεν ὀφείλειν χρέα. ἀναχωρήσας οὖν ἐς τὸν Παιανιέα δῆμον ἐνταῦθα εἶχε δίαιταν, ἐς ὃ ναύαρχον αὐτὸν Ἀθηναίων αἱρουμένων ἐκπλεύσεσθαι οὐκ ἔφασκεν· ὀφείλειν τε γὰρ καί οἱ πρὶν ἂν ἐκτίσῃ πρὸς τοὺς στρατιώτας οὐκ εἶναι παρέχεσθαι φρόνημα. οὕτως Ἀθηναῖοι (πάντως γὰρ ἐβούλοντο ἄρχειν Φορμίωνα) τὰ χρέα ὁπόσοις ὤφειλε διαλύουσιν.

24 Ἐνταῦθα Ἀθηνᾶ πεποίηται τὸν Σιληνὸν Μαρσύαν παίουσα, ὅτι δὴ τοὺς αὐλοὺς ἀνέλοιτο ἐρρῖφθαι σφᾶς τῆς θεοῦ βουλομένης.

Τούτων πέραν ὧν εἴρηκα ἐστὶν ἡ λεγομένη Θησέως μάχη πρὸς τὸν ταῦρον τὸν Μίνω καλούμενον, εἴτε ἀνὴρ εἴτε θηρίον ἦν ὁποῖον κεκράτηκεν ὁ λόγος· τέρατα γὰρ πολλῷ καὶ τοῦδε θαυμασιώτερα καὶ καθ' ἡμᾶς ἔτικτον γυναῖκες.

2 Κεῖται δὲ καὶ Φρίξος ὁ Ἀθάμαντος ἐξενηνεγμένος ἐς Κόλχους ὑπὸ τοῦ κριοῦ. θύσας δὲ αὐτὸν ὅτῳ δὴ θεῷ, ὡς δὲ εἰκάσαι τῷ ⟨Διὶ τῷ⟩ Λαφυστίῳ καλουμένῳ παρὰ Ὀρχομενίοις, τοὺς μηροὺς κατὰ νόμον ἐκτεμὼν τὸν Ἑλλήνων ἐς αὐτοὺς καιομένους ὁρᾷ.

Κεῖνται δὲ ἑξῆς ἄλλαι τε εἰκόνες καὶ Ἡρακλέους· ἄγχει δέ, ὡς λόγος ἔχει, τοὺς δράκοντας.

Ἀθηνᾶ τέ ἐστιν ἀνιοῦσα ἐκ τῆς κεφαλῆς τοῦ Διός.

Ἔστι δὲ καὶ ταῦρος, ἀνάθημα τῆς βουλῆς τῆς ἐν Ἀρείῳ πάγῳ, ἐφ' ὅτῳ δὴ ἀνέθηκεν ἡ βουλή· πολλὰ δ' ἄν τις ἐθέλων εἰκάζοι.

54 Ἀσωπίχου etiam *10*, 11, 6: Ἀσωπίου Thucydides *1*, 64 (cf. *3*, 7) et schol. Aristoph. pac. 347. Lys. 804 | 57 ἐκπλεύσεσθαι Herwerden p. 51: ἐκπλεῦσαι codices | 58 ἐβούλοντο Angel. Riccard. Kuhn: ἐβουλεύοντο codices plerique || 1 ἐπιοῦσα Brunn *Annali* 1858 p. 376 πτύουσα Wieseler *Apollon Stroganoff*, 1861, p. 105 ⟨αὐλοῦντα ἀνα⟩παύουσα idem *Gött. Nachr.* 1885 p. 324 πτοοῦσα GHirschfeld *Athena u. Marsyas*, 1872, p. 15. πτοοῦσα (uel παραινοῦσα) μὴ τοὺς HHirzel *Annali* 1864 p. 238 | 7 Διὶ add. Poison τῷ Διὶ Wieseler p. 325 | 12 ἐφ' ὅτῳ δὲ — — πολλὰ ἂν Coraes

ταῖς Μελιτίσι πύλαις καλουμέναις ἐστὶν ἐν Κοίλῃ τὰ καλούμενα Κιμώνεια μνήματα, ἔνθα δείκνυται Ὀλόρου (Sauppe act. soc. Lips. II p. 430: Ἡροδότου ug.) καὶ Θουκυδίδου τάφος· εὑρίσκονται δηλονότι τοῦ Μιλτιάδου γένους ὄντες (Heyse de Herod. uita p. 79: εὑρίσκεται et ὄντως ug.), ξένος γὰρ οὐδεὶς ἐκεῖ θάπτεται. καὶ Πολέμων δὲ ἐν τῷ περὶ ἀκροπόλεως τούτοις μαρτυρεῖ, ἔνθα καὶ Τιμόθεον υἱὸν αὐτῷ γεγενῆσθαι προσιστορεῖ. | 28 τρίτος δὲ (ἐγένετο Θουκυδίδης) γένει Φαρσάλιος, οὗ μέμνηται Πολέμων ἐν τοῖς περὶ ἀκροπόλεως, φάσκων αὐτὸν εἶναι πατρὸς Μένωνος. || fragmenti basis in arce nuper reperti inscripti Θουκυδίδης | Ὀλόρου solus testis extitit Eduardus Giffard, *A short visit to the Ionian Islands* cett., Lond. 1837, p. 147, fallaci Pittacis ut uidetur auctoritate fretus.

53 Ἑρμόλυκος] HERODOTVS *9*, 105 ἐν ταύτῃ τῇ μάχῃ (Mycalensi) Ἑλλήνων ἠρίστευσαν Ἀθηναῖοι καὶ Ἀθηναίων Ἑρμόλυκος ὁ Εὐθοίνου (Paris.: εὐθόνου Med. Angel. εὐθύνου Rom. Vindob. Cantabr.), ἀνὴρ παγκράτιον ἐπασκήσας. τοῦτον δὲ τὸν Ἑρμόλυκον κατέλαβε ὕστερον τούτων, πολέμου ἐόντος Ἀθηναίοισί τε καὶ Καρυστίοισι, ἐν Κύρνῳ τῆς Καρυστίης χώρης ἀποθανόντα ἐν μάχῃ κεῖσθαι ἐπὶ Γεραιστῷ.

Φορμίων] SCHOL. VEN. ARISTOPH. pac. 347 53*
ὁ Φορμίων οὗτος Ἀθηναῖος τῷ γένει, υἱὸς Ἀσωπίου, ὃς καθαρῶς στρατηγήσας πένης ἐγένετο. ἀτιμωθεὶς δὲ τῷ μὴ δύνασθαι τὰς ρ' μνᾶς τῆς εὐθύνης ἀποδοῦναι ἐν ἀγρῷ διέτριβεν, ἕως Ἀκαρνᾶνες στρατηγὸν αὐτὸν ᾔτουν (cf. Thucyd. *2*, 68, 7). ὁ δὲ οὐχ ὑπήκουσε, φάσκων μὴ ἐξεῖναι τοῖς ἀτίμοις, ὁ δὲ δῆμος βουλόμενος λῦσαι τὴν ἀτιμίαν ἀπεμίσθωσεν αὐτὸν τῶν ρ' μνῶν τοῦ Διονυσίου (αὐτῷ τῶν ρ' μνῶν θυσίαν τοῦ Διονύσου Boeckh ap. Meinekium fragm. com. II p. 528), ὡς Ἀνδροτίων ἐν γ' Ἀττικῶν.

Ἀθηνᾶ καὶ Μαρσύας] PLINIVS *34*, 57 1
(Myron) *fecit .... et Satyrum admirantem tibias et Mineruam.* || cf. tab. XXXV, 20.

Θησεὺς καὶ Μίνω ταῦρος] cf. tab. XXXV, 2
23. 24.

Φρίξος] PLINIVS *34*, 80 *Naucydes .... et* 6
immolante arietem censetur. || CIA. II, 1624 (saec. IV) [Ν]αυκύδης Ἀργεῖος ἐποίησεν (prima littera incerta).

ταῦρος] HESYCHIVS βοῦς ἐν πόλει· χαλ- 12
κοῦς, ὑπὸ τῆς βουλῆς ἀνατεθείς. || PROVERBIA

Λέλεκται δέ μοι καὶ πρότερον ὡς Ἀθηναίοις περισσότερόν τι ἢ τοῖς ἄλλοις ἐς τὰ θεῖά 3 (24) ἐστι σπουδῆς· πρῶτοι μὲν γὰρ Ἀθηνᾶν ἐπωνόμασαν Ἐργάνην, πρῶτοι δ' ἀκώλους Ἑρμᾶς * * ὁμοῦ δέ σφισιν ἐν τῷ ναῷ Σπουδαίων δαίμων ἐστίν.

Ὅστις δὲ τὰ σὺν τέχνῃ πεποιημένα ἐπίπροσθε τίθεται τῶν ἐς ἀρχαιότητα ἡκόντων, καὶ

15 Ἑρμᾶς ⟨ἀνέθεσαν⟩ Porson Ἑρμᾶς ⟨εἰργάσαντο * *⟩ Wieseler p. 325. plura excidisse putant Schubart et Walz, Gurlitt *Pausanias* p. 320, folium interiisse suspicatur Dörpfeld *Athen. Mitth.* 1887 p. 211 coll. p. 54 seqq. 1897 p. 176. an sufficiat ἀκώλους ⟨εἰκόνας⟩ Ἑρμᾶς· ὁμοῦ? | ὁμοίως Thiersch *Epochen* p. 200 ὁμοῦ δὲ ⟨τῇ θεῷ⟩ σφισιν Wieseler p. 326 | 16 ἐν τῇ στοᾷ Furtwängler *Meisterwerke* p. 183[2] | σπουδαιῶν Fowler *Amer. Journ. of Arch.* 1893 p. 3 | Σπουδαῖος Cook apud Frazerum σπονδῶν Vrlichs *Philol.* XVII p. 348 Ὑπουδαίων uel Ὑπουδαῖος Mercklin *Arch. Zeit.* 1851 p. 366 Ἐπουδαίων Schubart ὁ Βουταδῶν Gerhard *Philol.* III p. 761 (i. q. οἰκουρὸς ὄφις) ὁ Ἰουδαίων COMueller ap. Leakium *Topogr. von Athen* p. 465. ⟨τῶν⟩ σπουδαίων ἐλαία ἐστίν Homolle *Bull. corr. Hell.* 1893 p. 182

Bodl. et Vat. βοῦς ἐν πόλει· ἐπὶ τῶν παραδόξων καὶ θαυμαζομένων. (Diogen. *3*, 67.) Λυσανίας (Παυσανίας Bergk *Ztschr. f. Alt.-Wiss.* 1845 p. 980) δὲ εἶπε· βοῦς (cod. Coislin.: Λυσίας γὰρ ἀνέθηκε βοῦν ug. Λυσανίας δ' ἐποίει βοῦν Meineke exercc. philol. I p. 29 seq.) ἐν ἀκροπόλει. || Athenaevs *9* p. 396[d] Ἡνίοχος Πολυεύκτῳ· Ὁ βοῦς ὁ χαλκοῦς ἦν ἂν ἑφθὸς δεκάπαλαι, Ὁ δ' ἴσως γαλαθηνὸν τέθυκε τὸν χοῖρον λαβών. || Cf. Hesychivs κριὸς ἀσελγόκερως et Svidas βοῦς ἕβδομος (app. monument. s. u.). || Lvcilivs sat. 339 Lachm. (*10*, 10 M.) '*ne quem in arce bouem discerpsi!' magnifice inquit* ('νὴ τὸν *in arce bouem descripsi magnifice' inquit* Buecheler *N. rhein. Mus.* XXXVIII p. 133. XXXIX p. 288).

14 πρότερον] Pavsanias *1*, 17, 1 τούτοις δὲ (Atheniensibus) οὐ τὰ ἐς φιλανθρωπίαν μόνον καθέστηκεν, ἀλλὰ καὶ θεοὺς εὐσεβοῦσιν ἄλλων πλέον.

15 Ἀθηνᾶ Ἐργάνη] titulos V uel IV saeculi, quorum nonnulli ab occidente Parthenonis reperti sunt, uide AE sub uoce. || CIA. III, 1330 ἐργοπόνο[υ Παλλά]δος ἐν τεμένει. || Harpocration Ὑγεία Ἀθηνᾶ (ad c. 23, 25*). || Plvtarchvs praec. ger. rei publ. 5 τὴν Ἐργάνην οὗτοι μόνον θεραπεύουσιν, ὥς φησι Σοφοκλῆς, οἱ παρ' ἄκμονι τυπάδι βαρείᾳ καὶ πληγαῖς ὑπακούουσαν ὕλην ἄψυχον δημιουργοῦντες, ὁ δὲ τῆς Πολιάδος Ἀθηνᾶς καὶ τῆς Βουλαίας Θέμιδος ... προφητής, ἑνὶ χρώμενος ὀργάνῳ τῷ λόγῳ ... κοσμεῖ τὴν πόλιν. | Sophocles fr. 759 N. 724 D. βᾶτ' εἰς ὁδὸν δὴ πᾶς ὁ χειρῶναξ λεώς, Οἳ τὴν Διὸς γοργῶπιν Ἐργάνην στατοῖς Λίκνοισι προστρέπεσθε.

15* Χαλκεῖα] Svidas Χαλκεῖα· ἑορτὴ ἀρχαία καὶ δημώδης πάλαι, ὕστερον δὲ ὑπὸ μόνων ἤγετο τῶν τεχνιτῶν, ὅτι ὁ Ἥφαιστος ἐν τῇ Ἀττικῇ χαλκὸν εἰργάσατο. ἔστι δὲ ἕνῃ καὶ νέᾳ τοῦ Πυανεψιῶνος· ἐν ᾗ καὶ ⟨αἱ⟩ (ins. Michaelis) ἱέρειαι μετὰ τῶν ἀρρηφόρων τὸν πέπλον διάζονται. (etym. m.) | Svidas Χαλκεῖα· ἑορτὴ Ἀθήνησιν. ἃ τινες Ἀθήναια καλοῦσιν (cf. CIA. II, 954 οἵδε ἱεροποίησαν τὰ Ἀθήναια), οἱ δὲ πάνδημον. | Harpocration Χαλκεῖα ... ἑορτὴ παρ' Ἀθηναίοις ἀγομένη Πυανεψιῶνος ἕνῃ καὶ νέᾳ, χειρώναξι κοινή, μάλιστα δὲ χαλκεῦσιν, ὥς φησιν Ἀπολλώνιος ὁ Ἀχαρνεύς. Φανόδημος δὲ οὐκ Ἀθηνᾷ φησὶν ἄγεσθαι τὴν ἑορτὴν ἀλλ' Ἡφαίστῳ. (Svidas et etym. m. Flor.)

15** Ἑρμαῖ] Pavsanias *4*, 33, 3 Ἀθηναίων τὸ σχῆμα τὸ τετράγωνόν ἐστιν ἐπὶ τοῖς Ἑρμαῖς, καὶ παρὰ τούτων μεμαθήκασιν οἱ ἄλλοι. || Thvcydides *6*, 27, 1 ὅσοι Ἑρμαῖ ἦσαν λίθινοι ἐν τῇ πόλει τῇ Ἀθηναίων (εἰσὶ δὲ κατὰ τὸ ἐπιχώριον, ἡ τετράγωνος ἐργασία, πολλοὶ καὶ ἐν ἰδίοις προθύροις καὶ ἐν ἱεροῖς) μιᾷ νυκτὶ οἱ πλεῖστοι περιεκόπησαν τὰ πρόσωπα. || Herodotvs *2*, 51 τοῦ δὲ Ἑρμέω τὰ ἀγάλματα ὀρθὰ ἔχειν τὰ αἰδοῖα ποιεῦντες (Graeci) οὐκ ἀπ' Αἰγυπτίων μεμαθήκασι, ἀλλ' ἀπὸ Πελασγῶν πρῶτοι μὲν Ἑλλήνων ἁπάντων Ἀθηναῖοι παραλαβόντες, παρὰ δὲ τούτων ὦλλοι.

16 ὁ ναός] cf. tab. XVI, III. || Cf. Athenaevs *11* p. 479[f] Πολέμων ... περὶ τοῦ ἐν Ὀλυμπίᾳ λέγων Μεταποντίνων ναοῦ γράφει καὶ ταῦτα· 'ναὸς Μεταποντίνων ... ναὸς Βυζαντίων ..' (i. q. θησαυρός). Strabo *14* p. 637 (in Heraeo Samiorum) ἄλλαι πινακοθῆκαι καὶ ναΐσκοι (i. q. θησαυροί) τινές εἰσι πλήρεις τῶν ἀρχαίων τεχνῶν. | Plinivs *35*, 59 *hic* (Polygnotus) *Delphis aedem* (i. e. λέσχην) *pinxit.* | Pavsanias *1*, 27, 3 Πανδρόσου ναός (i. q. Πανδρόσειον?). *6*, 20, 3 ναὸς διπλοῦς (i. q. ἱερόν?). Herodotvs *8*, 55 (AA 56) Ἐρεχθέος νηός (i. q. Ἐρεχθέως σηκός Dionys. Hal. *14*, 2). | Pavsanias *1*, 20, 1 ναοὶ ὅσον (Robert *Herm.* XIV p. 315: θεῶν libri) ἐς τοῦτο μεγάλοι (i. q. monumenta choregica). | Plvtarchvs Nic. 3 ὁ τοῖς χορηγικοῖς τρίποσιν ὑποκείμενος ἐν Διονύσου νεώς.

16* Σπουδαίων δαίμων] cf. Aelianvs uar. hist. *1*, 2 ὑφαντικὴν καὶ ὑφαίνειν, δῶρα Ἐργάνης δαίμονος (δαήμονος Wieseler p. 326) οὔτε ἴσασιν αἱ φάλαγγες οὔτε εἰδέναι βούλονται. || Plvtarchvs de fort. 4 (post Sophoclis uersus ad u. 15 laudatos) τὴν γὰρ Ἐργάνην [καὶ τὴν Ἀθηνᾶν] (del. Hercher) αἱ τέχναι πάρεδρον, οὐ τὴν Τύχην ἔχουσιν.

(24) τάδε ἔστιν οἱ θεάσασθαι. κράνος ἐστὶν ἐπικείμενος ἀνήρ, Κλεοίτου * *, καί οἱ τοὺς ὄνυχας ἀργυροῦς ἐνεποίησεν ὁ Κλεοίτας.

Ἔστι δὲ καὶ Γῆς ἄγαλμα ἱκετευούσης ὗσαί οἱ τὸν Δία, εἴτε αὐτοῖς ὄμβρου δεῆσαν Ἀθηναίοις, εἴτε καὶ τοῖς πᾶσιν Ἕλλησι συμβὰς αὐχμός.

Ἐνταῦθα καὶ Τιμόθεος ὁ Κόνωνος καὶ αὐτὸς κεῖται Κόνων.

Πρόκνην δὲ τὰ ἐς τὸν παῖδα βεβουλευμένην αὐτήν τε καὶ τὸν Ἴτυν ἀνέθηκεν Ἀλκαμένης.

Πεποίηται δὲ καὶ τὸ φυτὸν τῆς ἐλαίας Ἀθηνᾶ καὶ κῦμα ἀναφαίνων Ποσειδῶν.

4 Καὶ Διός ἐστιν ἄγαλμα, τό τε Λεωχάρους καὶ ὁ ὀνομαζόμενος Πολιεύς, ᾧ τὰ καθεστηκότα ἐς τὴν θυσίαν γράφων τὴν ἐπ' αὐτοῖς λεγομένην αἰτίαν οὐ γράφω. τοῦ Διὸς τοῦ

18 lacunam ante Κλεοίτου indicauit Iahn ⟨ἔργον⟩ uel ⟨τέχνη⟩ suppleuit Zink *Verhandl. d. philol. Gesellschaft in Würzburg*, 1862, p. 128. Κλεοίτου ⟨ἔργον, ὡς τὸ ἐπίγραμμα δηλοῖ * * *⟩ Wieseler p. 326 seqq. | 19 ὁ Κλεοίτα Wieseler p. 327 | 24 πεποίηται — Ποσειδῶν post γῆς u. 34 transponenda censet CFHermann ap. Schubartum | 25 ἀγάλματα Siebelis ἀγάλματε Ouerbeck *Schriftquellen* 1304. *Griech. Kunstmyth.* II p. 564

18 ἀνὴρ Κλεοίτου] PAVSANIAS *6*, 20, 14 τὸ μὲν δὴ ἐξ ἀρχῆς Κλεοίτας ἐστὶν ἄφεσιν μηχανησάμενος, καὶ φρονῆσαί γε ἐπὶ τῷ εὑρήματι, ὡς καὶ ἐπίγραμμα ἐπὶ ἀνδριάντι τῷ Ἀθήνησιν ἐπιγράψαι· Ὃς τὴν ἱππάφεσιν ἐν Ὀλυμπίᾳ εὕρατο πρῶτος, Τεῦξέ με Κλειοίτας υἱὸς Ἀριστοκλέους.

20 Γῆς ἄγαλμα] CIA. III, 166 in ipsa rupe paullum laeuigata, nouem fere metris ad septentrionem uersus a Parthenone, e regione septimae si ab occasu numeraueris templi columnae: Γῆς Καρ|ποφόρου | κατὰ μαν|τείαν.

22 Τιμόθεος, Κόνων] CIA. II, 1360 basis m. Pentel. paullulum incuruata, olim e quattuor uel pluribus quadris composita, quarum mediae duae et tertia extrema supersunt (tab. XXXVIII, 15), una prope Γῆς Καρποφόρου titulum reperta: Κόνων Τιμ[ο]|θέο, Τιμόθεος Κόνω|[νος].

24 Ἀθηνᾶ καὶ Ποσειδῶν] cf. tab. XXXV, 10. 11.

24* Διὸς ψῆφος] HESYCHIVS (AA 6) Διὸς θᾶκοι καὶ πεσσοί· τινὲς γράφουσι ψῆφοι. φασὶ δὲ ἐν τῇ ⟨περὶ⟩ (ins. Michaelis) τῶν Ἀθηναίων (ἐν τῇ τῶν θεῶν Iahn) διαψηφίσει, ὅτε ἠμφισβήτει Ἀθηνᾶ καὶ Ποσειδῶν, τὴν Ἀθηνᾶν Διὸς δεηθῆναι ὑπὲρ αὐτῆς τὴν ψῆφον ἐνεγκεῖν καὶ ὑποσχέσθαι ἀντὶ τούτου τὸ τοῦ Πολιέως ἱερεῖον πρῶτον θύεσθαι ἐπὶ βωμοῦ. || SVIDAS (AA 5) Διὸς ψῆφος· οὕτως καλεῖται (ὁ τόπος ins. APOSTOLIVS *6*, 20) ἐν ᾧ Ἀθηνᾶ καὶ Ποσειδῶν ἐκρίθησαν. Κρατῖνος Ἀρχιλόχοις· Ἔνθα Διὸς μεγάλου θᾶκοι πεσσοί τε καλοῦνται. (τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἱερῶν καὶ ἀθίκτων add. APOSTOLIVS.)

25 Ζεὺς Πολιεύς (tab. XXXV, 2. 3)] καρχήσιον ἀργυροῦν Διὸς Πολιῶς· σταθμὸν τούτου HH in traditionibus rerum sacrarum in Hecatompedo seruatarum inde ab Ol. 88, 1 (428/7), quo anno inter ἐπέτεια comparet (CIA. I, 149, 10), usque ad Ol. 93, 4 (405/4) commemoratur; idem ineunte quarto quoque saeculo ibidem seruabatur pondere una drachma imminuto (CIA. II, 649, 12. 652, 48. 660, 23. 661, 4), cum postea in catalogis non reperiatur. || CIA. IV, *2*, 1550*b* - - Παιαν[ιεὺς ἀνέθ]ηκεν Διὶ Πολιε[ῖ]. || CIA. III, 242 (AE 2) ἱερέως Διὸς Πολιέως.

Διπόλια] THEOPHRASTVS ap. Porphyrium de abstin. *2*, 30 (de αἰτίᾳ quae praecedunt uide infra ad u. 25) ἀπ' ἐκείνου μέχρι τοῦ νῦν ἀεὶ τοῖς Διπολείοις Ἀθήνησιν ἐν ἀκροπόλει οἱ εἰρημένοι (sacrificii participes) τὸν αὐτὸν τρόπον ποιοῦνται τὴν τοῦ βοὸς θυσίαν. θέντες γὰρ ἐπὶ τῆς χαλκῆς τραπέζης πέλανον καὶ ψαιστὰ περιελαύνουσι τοὺς κατανεμηθέντας βοῦς, ὧν ὁ γευσάμενος κόπτεται. καὶ γένη τῶν ταῦτα δρώντων ἔστιν νῦν, οἱ μὲν ἀπὸ τοῦ πατάξαντος Σωπάτρου βουτύποι καλούμενοι πάντες, οἱ δ' ἀπὸ τοῦ περιελάσαντος κεντριάδαι, τοὺς δ' ἀπὸ τοῦ ἐπισφάξαντος δαιτροὺς ὀνομάζουσιν διὰ τὴν ἐκ τῆς κρεανομίας γιγνομένην δαῖτα. πληρώσαντες δὲ τὴν βύρσαν ὅταν πρὸς τὴν κρίσιν ἀχθῶσι, καταποντοῦσι (Bernays *Theophrastos Schrift über Frömmigkeit* p. 90: κατεπόντωσαν ug.) τὴν μάχαιραν. || PAVSANIAS *1*, 28, 10 Ἀθηναίων βασιλεύοντος Ἐρεχθέως τότε πρῶτον βοῦν ἔκτεινεν ὁ βουφόνος ἐπὶ τοῦ βωμοῦ τοῦ Πολιέως Διός· καὶ ὁ μὲν ἀπολιπὼν ταύτῃ τὸν πέλεκυν ἀπῆλθεν ἐκ τῆς χώρας φεύγων, ὁ δὲ πέλεκυς παραυτίκα ἀφείθη κριθεὶς καὶ ἐς τόδε ἀνὰ πᾶν ἔτος κρίνεται. || AELIANVS uar. hist. *8*, 3 ὅτι Ἀττικὸν τοῦτο τὸ ἔθος, ὅταν ὁ βοῦς ἀποσφαγῇ, τῶν μὲν ἄλλων ἀποψηφίζονται, κρίνοντες ἕκαστον ἐν τῷ μέρει φόνου, καταγινώσκουσι δὲ τῆς μαχαίρας καὶ λέγουσι ταύτην ἀποκτεῖναι αὐτόν. καὶ ἐν ᾗ ταῦτα ἡμέρᾳ δρῶσι, Διιπόλια τὴν ἑορτὴν καλοῦσι καὶ Βουφόνια. (cf. SCHOL. ARISTOPH. nub. 985. HESYCH. et SVID. Βουφόνια.) || SCHOLION RV ARISTOPH. nub. 984 τὰ Διιπόλεια τῶν ἀρχαιοτάτων ἑορτῶν, τὰ καὶ Διάσια. | 985 ἑορτὴ Ἀθηναίων πάνυ ἀρχαία κ. τ. λ. || SCHOLION VEN. ARISTOPHANIS pac. 419 Διπόλεια

Πολιέως κριθὰς καταθέντες ἐπὶ τὸν βωμὸν μεμιγμένας πυροῖς οὐδεμίαν ἔχουσι φυλακήν· ὁ βοῦς (24) δέ, ὃν ἐς τὴν θυσίαν ἑτοιμάσαντες φυλάσσουσιν, ἅπτεται τῶν σπερμάτων φοιτῶν ἐπὶ τὸν βωμόν. καλοῦσι δέ τινα τῶν ἱερέων βουφόνον * * καὶ ταύτῃ τὸν πέλεκυν ῥίψας (οὕτω γάρ ἐστίν οἱ νόμος) οἴχεται φεύγων· οἱ δὲ ἅτε τὸν ἄνδρα ὃς ἔδρασε τὸ ἔργον οὐκ εἰδότες ἐς δίκην ὑπάγουσι τὸν πέλεκυν. ταῦτα μὲν τρόπον τὸν εἰρημένον δρῶσιν.

Ἐς δὲ τὸν ναὸν ὃν Παρθενῶνα ὀνομάζουσιν, ἐς τοῦτον ἐσιοῦσιν ὁπόσα ἐν τοῖς καλου-

29 lacunam indicauit Iahn praeeunte Sylburgio, qui fere οὗτος ἐπὶ τοῦ βωμοῦ τὸν βοῦν κτείνας excidisse suspicatur (breuius Michaelis ὃς κτείνας τὸν βοῦν). fortasse scribendum τὸν βωμόν. ⟨τοῦτον δὲ κτείνας ὁ βουφόνος⟩ (καλοῦσι δέ τινα τῶν ἱερέων βουφόνον) καί ταύτῃ

ἑορτὴ Ἀθήνησιν, ἐν ᾗ Πολιεῖ Διὶ θύουσι Σκιροφοριῶνος τετάρτῃ (ἕκτην ANECD. Bekk. p. 238, 22) ἐπὶ δέκα· ἔστι δὲ ἀπομίμημα τῶν περὶ τὸν πέλανον καὶ τὰς βοῦς συμβάντων. (cf. ETYM. M. Βουφόνια. HESYCH. et ETYM. M. Διπόλεια.)

26* αἰτία] THEOPHRASTVS ap. Porphyrium de abstin. *2*, 29 τὸ γὰρ παλαιὸν . . . λέγεται κοινῆς θυσίας οὔσης Ἀθήνησιν [Δίομον ἢ] Σώπατρόν τινα, τῷ γένει οὐκ ἐγχώριον, γεωργοῦντα δὲ κατὰ τὴν Ἀττικήν, ἐπεὶ πελάνου τε καὶ τῶν θυλημάτων ἐπὶ τῆς τραπέζης ἐναργῶς κειμένων, ἵνα τοῖς θεοῖς ταῦτα θύοι, τῶν βοῶν τις εἰσιὼν ἀπ' ἔργου τὰ μὲν κατέφαγεν τὰ δὲ συνεπάτησεν, αὐτὸν δ' ὑπεραγανακτήσαντα τῷ συμβάντι, πελέκεώς τινος πλησίον ἀκονωμένου τοῦτον ἁρπάξαντα πατάξαι τὸν βοῦν. τελευτήσαντος δὲ τοῦ βοὸς . . . τὸν μὲν βοῦν θάπτει, φυγὴν δὲ ἑκούσιον ἀράμενος ὡς ἠσεβηκὼς ἔφυγεν εἰς Κρήτην. αὐχμῶν δὲ κατεχόντων καὶ δεινῆς ἀκαρπίας γενομένης ἐπερωτῶσι κοινῇ τὸν θεόν. ἀνεῖλεν ἡ Πυθία τὸν ἐν Κρήτῃ φυγάδα ταῦτα λύσειν, τόν τε φονέα τιμωρησαμένων καὶ τὸν τεθνεῶτα ἀναστησάντων ἐν ᾗπερ ἀπέθανε θυσίᾳ λῷον ἔσεσθαι γευσαμένοις τε τοῦ τεθνεῶτος καὶ (τὸν φονέα ins. Reiskius) μὴ κατασχοῦσιν (uoc. corruptum iudicat Bernays). ὅθεν ζητήσεως γενομένης καὶ τοῦ Σωπάτρου, οὐ μέντοι (Bernays: μετὰ libri μεταιτίου Reiskius) τῆς πράξεως, ἀνευρεθέντος, Σώπατρος νομίσας τῆς περὶ αὐτὸν δυσκολίας ἀπαλλαγήσεσθαι ὡς ἐναγοῦς ὄντος, εἰ κοινῇ ταὐτὸ (Bernays: τοῦτο ug.) πράξειαν πάντες, ἔφη πρὸς τοὺς αὐτὸν μετελθόντας, δεῖν κατακοπῆναι βοῦν ὑπὸ τῆς πόλεως· ἀπορούντων δὲ τίς ὁ πατάξων ἔσται, παρασχεῖν αὐτοῖς τοῦτο, εἰ πολίτην αὐτὸν ποιησάμενοι [καὶ] κοινωνήσουσι τοῦ φόνου. συγχωρηθέντων οὖν τούτων ὡς ἐπανῆλθον ἐπὶ τὴν πόλιν, συνέταξαν οὕτω τὴν πρᾶξιν ᾗπερ (Bernays: ἥπερ ug.) καὶ νῦν διαμένει παρ' αὐτοῖς. (30) ὑδροφόρους παρθένους κατέλεξαν· αἳ δ' ὕδωρ κομίζουσιν, ὅπως τὸν πέλεκυν καὶ τὴν μάχαιραν ἀκονήσουσιν. ἀκονησάντων δὲ ἐπέδωκεν μὲν τὸν πέλεκυν ἕτερος, ὃ δ' ἐπάταξε τὸν βοῦν, ἄλλος δ' ἔσφαξε, τῶν δὲ μετὰ ταῦτα δειράντων ἐγεύσαντο τοῦ βοὸς πάντες. τούτων δὲ πραχθέντων τὴν μὲν δορὰν τοῦ βοὸς ῥάψαντες καὶ χόρτῳ ἐπογκώσαντες ἐξανέστησαν ἔχοντα ταὐτὸν ὅπερ καὶ ζῶν ἔσχε σχῆμα καὶ προσέζευξαν ἄροτρον ὡς ἐργαζομένῳ. κρίσιν δὲ ποιούμενοι τοῦ φόνου πάντας ἐκάλουν εἰς ἀπολογίαν τοὺς τῆς πράξεως κοινωνήσαντας. ὧν δὴ (Bernays: ὡς δὲ ug.) αἱ μὲν ὑδροφόροι τοὺς ἀκονήσαντας αὐτῶν ᾐτιῶντο μᾶλλον, οἱ δὲ ἀκονήσαντες τὸν ἐπιδόντα τὸν πέλεκυν, οὗτος δὲ τὸν ⟨πατάξαντα, ὁ δὲ πατάξας τὸν⟩ (ins. Nauck) ἐπισφάξαντα, καὶ ὁ τοῦτο δράσας τὴν μάχαιραν, καθ' ἧς οὔσης ἀφώνου τὸν φόνον κατέγνωσαν. (quae sequuntur uide supra ad u. 26.)

βουφόνος] HESYCHIVS βουτύπος· βουθύτης (Kusterus: βουτύπον πυθμὴν cod.) Ἀθήνησιν ἐκαλεῖτο, ἐκ τοῦ Θαυλωνιδῶν γένους καθιστάμενος. || SCHOL. ARISTOPH. nub. 985 Θαύλωνά τινα, ὥς εἶχε, τῷ πελέκει ἀποκτεῖναι τὸν βοῦν, ὡς καὶ Ἀνδροτίων μέμνηται διὰ τῆς τετάρτης (τῆς α' Wilamowitz *Aristoteles* I p. 288 [39]). (SVIDAS Βουφόνια.) || SVIDAS Θαύλων, Θαύλωνος· ὃς τῷ ἰδίῳ πελέκει ἀπέκτεινε τὸν βοῦν τὸν φαγόντα τὸ πόπανον, ὅπερ ἦν παρεσκευασμένον εἰς τὴν θυσίαν ἐν τοῖς Διπολίοις. || PORPHYRIVS de abstin. *2*, 10 βοῦν δὲ Δίομος ἔσφαξε πρῶτος, ἱερεὺς ὢν τοῦ Πολιῶς Διός, ὅτι τῶν Διπολείων ἀγομένων καὶ παρεσκευασμένων κατὰ τὸ πάλαι ἔθος τῶν καρπῶν ὁ βοῦς προσελθὼν ἀπεγεύσατο τοῦ ἱεροῦ πελάνου· συνεργοὺς γὰρ λαβὼν τοὺς ἄλλους ὅσοι παρῆσαν ἀπέκτεινε τοῦτον. || HESYCHIVS Βούτης (immo βουθύτης)· . . . καὶ ὁ τοῖς Διπολίοις τὰ βουφόνια δρῶν. || CIA. IV, *1*, 555*a*, *7* [ἱ]ερ[ε]ῦσιν οἱ Διπολί[οις - -. 29

Παρθενών] ὁ Παρθενών CIA. IV, *2*, 843*d*. 32 DEMOSTHENES *22*, 13. 76 (ad c. 22, 19). STRABO *9* p. 395. PAVSANIAS *1*, 1, 2. PLVTARCHVS Demetr. 23. AELIANVS de nat. anim. *6*, 49. HIMERIVS ecl. 31, 8. | POETA COMICVS (anon. fr. XLIX (64) M. 340 K.) ὡς καλὸς ὁ Παρθενών. | ὁ καλούμενος Παρθενὼν HERACLIDES (u. infra). PAVSANIAS *8*, 41, 9. | HARPOCRATION ἀργυρόπους δίφρος· . . . τὸν Παρθενῶνα τῆς Ἀθηνᾶς. || SCHOL. PATM. DEMOSTH. *22*, 13 (BCH. 1877 p. 13) Παρθενών· τὸ τῆς Ἀθηνᾶς ἱερόν. | HERACLIDES *1*, 1 Ἀθηνᾶς ἱερὸν πολυ-

(24) μένοις ἀετοῖς κεῖται, πάντα ἐς τὴν Ἀθηνᾶς ἔχει γένεσιν, τὰ δὲ ὄπισθεν ἡ Ποσειδῶνος πρὸς Ἀθηνᾶν ἐστιν ἔρις ὑπὲρ τῆς γῆς.

34 γῆς] cf. ad u. 24

τελές, † ἀπόβιον (ἀπόψιον Wordsworth *Athens* p. 102 et Duebner κατόψιον Marx ἐπόψιον Naeke opusc. II p. 199), ἄξιον θέας, ὁ καλούμενος Παρθενών, ⟨ὃ⟩ (ins. Kaibel *stren. Helbig.* p. 144) ὑπερκείμενον τοῦ θεάτρου μεγάλην κατάπληξιν ποιεῖ τοῖς θεωροῦσιν. | τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἐν ἀκροπόλει PHOTIVS ταμίαι. (ANECD. Bekk. p. 306, 7.) | PLAVTVS Bacch. (Graeca Menandru Δὶς ἐξαπατῶν) 900 *illa autem in arcem abiit aedem uisere Mineruae. nunc apertast: i, uise estne ibi.* | CICERO Verr. *1*, 45 *aedes Mineruae.* || ὁ νεώς CIA. IV *2*, 109*b*, 35. XENOPHON Hell. *2*, 3, 20. ARISTOTELES hist. anim. *6*, 24 (ad u. 32***). | ὁ νεὼς τῆς Ἀθηνᾶς ARISTIDES *51*, 57 (*27* p. 548 D). | ὁ νεὼς ὁ Ἀθηνα[ίων] CIA. II, 818, 9. | ὁ νεὼς ὁ μέγας PHILOCHORVS (ad u. 35***). | ὁ ναὸς ὁ μέγας τῆς Ἀθηνᾶς PAVSANIAS *1*, 37, 1. || ὁ ἑκατόμπεδος Παρθενών PLVTARCHVS Per. 13. | ID. de gloria 7 Παρθενῶνες ἑκατόμπεδοι.

32* Ἑκατόμπεδος] HESYCHIVS Ἑκατόμπεδος νεώς· ἐν τῇ ἀκροπόλει, ⟨ὁ⟩ Παρθενών (Michaelis: παρθένοι cod. Παρθένῳ Schow τῇ Παρθένῳ Schmidt), κατασκευασθεὶς ὑπὸ Ἀθηναίων μείζων τοῦ ἐμπρησθέντος ὑπὸ τῶν Περσῶν ποσὶ πεντήκοντα. | SVIDAS Ἑκατόμπεδος νεώς· ὁ Ἀθήνησιν Παρθενών. (cf. ANECD. Bekk. p. 283, 15.) | PLVTARCHVS de soll. anim. 13 (ad u. 32***) τὸν Ἑκατόμπεδον νεών. || PLVTARCHVS Cat. mai. 5 τὸν Ἑκατόμπεδον. | ARISTIDES *51*, 61 (*27* p. 549 D.) νεὼς πάνυ μέγας καὶ καλὸς οὐχ ἧττον ἢ ⟨ὁ⟩ Ἑκατόμπεδος. | PLVTARCHVS de glor. 8 τοὺς Ἑκατομπέδους. || GLOSSA PATMIA (BCH. 1877 p. 149) Ἑκατόμπεδον· νεὼς τῆς Ἀθηνᾶς οὕτω καλούμενος παρὰ τὸ ἑκατὸν ποδῶν ἑκάστην εἶναι πλευράν· τὸν αὐτὸν ἔνιοι καὶ Παρθενῶνα καλοῦσι. Λυκοῦργος ἐν τῷ κατὰ Κηφισοδότου ὑπὲρ τῶν Δημάδου τιμῶν· "Περικλῆς δὲ ὁ Σάμον καὶ Εὔβοιαν καὶ Αἴγιναν ἑλὼν καὶ τὰ Προπύλαια καὶ τὸ Ὠιδεῖον καὶ τὸ Ἑκατόμπεδον οἰκοδομήσας καὶ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν ἀνενεγκὼν θαλλοῦ στεφάνῳ ἐστεφανώθη". | ETYMOL. M. Ἑκατόμπεδον· νεώς ἐστι τῆς Ἀθηνᾶς, ποδῶν ἑκατὸν ἐκ πάσης πλευρᾶς· διὰ τοῦτο γὰρ καὶ ὠνόμασται. καλοῦσι γὰρ αὐτόν τινες Παρθενῶνα. (ANECD. Bekk. p. 247, 23.)

HARPOCRATION Ἑκατόμπεδον· Λυκοῦργος ἐν τῷ ἐπιγραφομένῳ Ἀπολογισμὸς ὧν πεπολίτευται. ὁ Παρθενὼν ὑπό τινων ἑκατόμπεδος ἐκαλεῖτο διὰ κάλλος καὶ εὐρυθμίαν, οὐ διὰ μέγεθος, ὡς Μενεκλῆς ἢ Καλλικράτης (καλλιστράτης uel καλλίστρατος libri) ἐν τῷ περὶ Ἀθηνῶν.

Parthenonis historia] P. aedificari coeptus est a. 447 (AE 10, coll. AA 75). || DEMOSTHENES *22*, 13 οἱ τὰ Προπύλαια καὶ τὸν Παρθενῶνα οἰκοδομήσαντες ἐκεῖνοι καὶ τἆλλα ἀπὸ τῶν βαρβάρων ἱερὰ κοσμήσαντες. | HIMERIVS ecl. 31, 8 Περικλεῖ Προπύλαια πρὸς φιλοτιμίαν ἤρκει καὶ Παρθενών. || PLVTARCHVS Pericl. 13 πάντα δὲ διεῖπε καὶ πάντων ἐπίσκοπος ἦν αὐτῷ (Pericli) Φειδίας, καίτοι μεγάλους ἀρχιτέκτονας ἐχόντων καὶ τεχνίτας τῶν ἔργων. τὸν μὲν γὰρ ἑκατόμπεδον Παρθενῶνα Καλλικράτης εἰργάζετο καὶ Ἰκτῖνος . . . . πάντα δ' ἦν σχεδὸν ἐπ' αὐτῷ (penes Phidiam) καὶ πᾶσιν ὡς εἰρήκαμεν ἐπεστάτει τοῖς τεχνίταις διὰ φιλίαν Περικλέους. καὶ τοῦτο τῷ μὲν φθόνον τῷ δὲ βλασφημίαν ἤνεγκεν ὡς ἐλευθέρας τῷ Περικλεῖ γυναῖκας εἰς τὰ ἔργα φοιτώσας ὑποδεχομένου τοῦ Φειδίου. || STRABO *9* p. 395 Ἰκτῖνος . . . ὃς καὶ τὸν Παρθενῶνα ἐποίησε τὸν ἐν ἀκροπόλει τῇ Ἀθηνᾷ, Περικλέους ἐπιστατοῦντος τῶν ἔργων. | IDEM p. 396 ὁ Παρθενὼν ὃν ἐποίησεν Ἰκτῖνος, ἐν ᾧ τὸ τοῦ Φειδίου ἔργον ἐλεφάντινον, ἡ Ἀθηνᾶ. || PAVSANIAS *8*, 41, 9 Ἰκτῖνος ὁ ἀρχιτέκτων τοῦ ἐν Φιγαλίᾳ ναοῦ, γεγονὼς τῇ ἡλικίᾳ κατὰ Περικλέα καὶ Ἀθηναίοις τὸν Παρθενῶνα καλούμενον κατασκευάσας. || VITRVVIVS 7, praef. 12 *de aede Mineruae dorica quae est Athenis in arce* (uolumen ediderunt) *Ictinus et Carpion.* || PLVTARCHVS Per. 13 (οἱ περὶ τὸν Θουκυδίδην ῥήτορες βοῶσιν ὡς) δοκεῖ δεινὴν ὕβριν ἡ Ἑλλὰς ὑβρίζεσθαι καὶ τυραννεῖσθαι περιφανῶς, ὁρῶσα τοῖς εἰσφερομένοις ὑπ' αὐτῆς ἀναγκαίως πρὸς τὸν πόλεμον ἡμᾶς τὴν πόλιν καταχρυσοῦντας καὶ καλλωπίζοντας ὥσπερ ἀλαζόνα γυναῖκα περιαπτομένην λίθους πολυτελεῖς καὶ ἀγάλματα καὶ ναοὺς χιλιοταλάντους (cf. AA 90). || Cf. AE 10. AA 85. 32**

ἡμίονος] ARISTOTELES hist. anim. *6*, 24 ἤδη γάρ τις (ἡμίονος) βεβίωκεν ἔτη καὶ ὀγδοήκοντα, οἷον Ἀθήνησιν ὅτε τὸν νεὼν ᾠκοδόμουν· ὃς καὶ ἀφειμένος ἤδη διὰ τὸ γῆρας συναμπρεύων καὶ παραπορευόμενος παρώξυνε τὰ ζεύγη πρὸς τὸ ἔργον, ὥστ' ἐψηφίσαντο μὴ ἀπελαύνειν αὐτὸν τοὺς σιτοπώλους ἀπὸ τῶν τηλιῶν. (cf. AELIANVS de nat. anim. *6*, 48 qui laudato Aristotele incipit ἡνίκα γοῦν Ἀθηναῖοι κατεσκεύαζον τὸν Παρθενῶνα κ. τ. λ.) || PLVTARCHVS de soll. anim. 13 τὸν γὰρ Ἑκατόμπεδον νεὼν Περικλέους ἐν ἀκροπόλει κατασκευάζοντος ὡς εἰκὸς λίθοι προσήγοντο πολλοῖς ζεύγεσι καθ' ἡμέραν. τῶν οὖν συνειργασμένων μὲν προθύμως, ἤδη δὲ διὰ γῆρας ἀφειμένων ὀρέων εἷς κατερχόμενος εἰς Κεραμεικὸν καὶ τοῖς ἀνάγουσι ζεύγεσι τοὺς λίθους ὑπαντῶν ἀεὶ συναν- 32***

Αὐτὸ δὲ ἔκ τε ἐλέφαντος τὸ ἄγαλμα καὶ χρυσοῦ πεποίηται. μέσῳ μὲν οὖν ἐπίκειταί οἱ (24)

ἔστρεφε καὶ συμπαρετρόχαζεν, οἷον ἐγκελευόμενος καὶ παρορμῶν· διὸ θαυμάσας αὐτοῦ τὴν φιλοτιμίαν ὁ δῆμος ἐκέλευσε δημοσίᾳ τρέφεσθαι, καθάπερ ἀθλητῇ σίτησιν ὑπὸ γήρως ἀπειρηκότι ψηφισάμενος. | IDEM Cato mai. 5 ὁ δὲ τῶν Ἀθηναίων δῆμος οἰκοδομῶν τὸν Ἑκατόμπεδον ὅσας κατενόησεν ἡμιόνους μάλιστα τοῖς πόνοις ἐγκαρτερούσας, ἀπέλυσεν ἐλευθέρας νέμεσθαι καὶ ἀφέτους, ὧν μίαν φασὶ καταβαίνουσαν κ. τ. λ., ἣν καὶ τρέφεσθαι δημοσίᾳ μέχρι τελευτῆς ἐψηφίσαντο.

32** σπλαγχνόπτης] PLINIVS *22, 44 uerna carus Pericli Atheniensium principi, cum is in arce templum aedificaret repsissetque super altitudinem fastigi et inde cecidisset, hac herba* (perdicio) *dicitur sanatus, monstrata Pericli somnio a Minerua, quare parthenium uocari coepta est adsignaturque ei deae. hic est uernula cuius effigies ex aere fusa est,* [*et*] *nobilis ille splanchnoptes.* | IDEM *34,* 81 *Styppax Cyprius uno celebratur signo splanchnopte. Periclis Olympii uernula hic fuit, exta torrens ignemque oris pleni spiritu accendens.* || Cf. PLVTARCHVS Sull. 13 τῶν ἀνθρώπων σιτουμένων τὸ περὶ τὴν ἀκρόπολιν φυόμενον παρθένιον.

33 ἀετοί] τὰ ἐναιέτια u. AE 10.

34 Parthenonis partes] In tribus aedis partibus, ἐν τῶι Προνηίωι siue Πρόνεωι, ἐν τῶι νεῶι τῶι Ἑκατομπέδωι, ἐν τῶι Παρθενῶνι inde ab anno 434 donaria apparatusque sacri seruabantur, quorum catalogi magna ex parte hodieque extant (CIA. I, 117 seqq. II, 642 seqq. IV, *1* p. 26 seqq. 70. *2* p. 175 seqq.). eaedem partes in aliis quoque titulis passim commemorantur. cf. AE 11. 12. 18.

34* πρόνεως, κορῶναι] PLINIVS *35,* 101 *Mineruae delubri propylon* cf. ad c. 22, 38*. || PHILOSTRATVS u. Apoll. Tyan. *2,* 10 ἐν κορυφῇ τῆς πέτρας (Aorni prope Nysam) ῥῆγμα εἶναί φασι τοὺς ὑπερπετομένους τῶν ὀρνίθων ἐπισπώμενον, ὡς Ἀθήνησί τε ἰδεῖν ἔστιν ἐν προδόμῳ τοῦ Παρθενῶνος καὶ πολλαχοῦ τῆς Φρυγῶν καὶ Λυδῶν γῆς, ἐφ' οὗ τὴν πέτραν Ἄορνον κεκλῆσθαί τε καὶ εἶναι. | LVCRETIVS *6,* 749 *est ut Athenaeis in moenibus, arcis in ipso Vertice, Palladis ad templum Tritonidis almae, Quo numquam pennis appellunt corpora raucae Cornices, non cum fumant altaria donis: Vsque adeo fugitant non iras Palladis acris Peruigili causa, Graium ut cecinere poetae, Sed natura loci ui ibus officit ipsa suapte.* | AVSONIVS Mos. 308 *in arce Mineruae Ictinus, magico cui noctua perlita fuco Allicit omne genus uolucres perimitque tuendo.* | PLINIVS *10,* 30 *ab Arcturi sidere ad hirundinum aduentum notatur eam* (cornicem) *in Mineruae lucis templisque raro, alicubi omnino non aspici, sicut Athenis.* | AELIANVS de nat. anim. *5,* 8 (Ἀριστοτέλης λέγει ὅτι) κορώνη ἐς τὴν Ἀθηναίων ἀκρόπολιν οὐκ ἔστιν ἐπιβατά. | APOLLONIVS hist. mirab. 8 Ἄνδρων ἐν τῇ δ' τῶν πρὸς Φίλιππον θυσιῶν· κορώνη ἐν τῇ Ἀττικῇ εἰς τὴν ἀκρόπολιν οὐδεμία ἑώραται εἰσερχομένη. | ANTIGONVS hist. mirab. 12 u. AA 11.

Ἑκατόμπεδος νεώς] αἱ θύραι αἱ ἐν τῷ Ἑκατομπέδῳ u. AE 12. | CIA. II, 678, *B,* 54 κλεὶς τοῦ Ἑκατομπέδου, seruata ἐν τῇ χαλκοθήκῃ. || In Hecatompedo praeter eburneam Mineruam (AE 18) inde ab Euclidis temporibus Νίκη χρυσῆ locum obtinuit, pondo 1[t] 5964[d] 3[o], in quinque ῥυμοὺς diuisa (CIA. II, 642. 652. 654. 660 (a. 390/89). 667 (a. 386/5). 677, I, 26. IV, *2,* 700 *b,* *B,* 13. II, 710), conflata ex bonis triginta uirorum, cf. HARPOCRATION πομπείας· ... πομπείοις δέ, φησὶ Φιλόχορος, πρότερον ἐχρῶντο οἱ Ἀθηναῖοι τοῖς ἐκ τῆς οὐσίας τῶν τριάκοντα κατασκευασθεῖσιν. || praeterea inter res sacras Hecatompedi anno 385/4 recensentur [σταθ]μία χαλκᾶ ΔΙΙ ἃ ὁ δῆμος σηκῶσαι ἐψ[ηφίσατο] (CIA. II, 667, 41), cf. POLLVX *10,* 126 σταθμία χαλκᾶ ἐν τῇ ἐπ' Ἀλκιβιάδου ἄρχοντος (AA 209) ἀναγραφῇ τῶν ἐν ἀκροπόλει ἀναθημάτων ἀναγέγραπται. | CIA. II, 476 (circa a. 100), 54 [ἀνατιθέσθω δὲ εἰς ἀκ]ρόπολιν σηκώματα τοῦ τ[ε] ἐμπορι[κ]οῦ [ταλάντο]υ καὶ δεκάμνου καὶ δί[μν]ου [καὶ τῆς μνᾶς καὶ τοῦ] ἡμιμναίου καὶ τα[ρ]τη[μ]όρου καὶ χοὸς [καὶ χοίνικος?]. 34**

Παρθενών] CIA. II, 667, 5. 670, 7 ἡ στήλη ἡ χαλκῆ ἡ ἐν τῷ Παρθενῶνι signi aurei descriptionem continens. | PLVTARCHVS Per. 13 Φειδίας τούτου (τοῦ ἕδους) δημιουργὸς ἐν τῇ στήλῃ ἀναγέγραπται. || HARPOCRATION ἀργυρόπους δίφρος· ὁ Ξέρξου, ὃς αἰχμάλωτος ἐπεκαλεῖτο, ἐφ' οὗ καθεζόμενος ἐθεώρει τὴν ναυμαχίαν (ἐν τῷ Αἰγάλεῳ ὄρει τῆς Ἀττικῆς add. schol. Demosth. *24,* 129). ἀνέκειτο δὲ εἰς τὸν Παρθενῶνα. | CIA. II, 646, 13 (ineunte saec. IV) in Parthenone seruantur δίφροι στρογγυλόποδες Γ, ἀργυρόπους εἷς. | DEMOSTHENES *24,* 129 (AA 167) ὑφῃρημένος (Γλαυκέτης 354/3) ἐξ ἀκροπόλεως τὸν δίφρον τὸν ἀργυρόποδα. 34***

Ὀπισθόδομος] PLVTARCHVS Demetr. 23 (cf. AA 200) τὸν ὀπισθόδομον τοῦ Παρθενῶνος ἀπέδειξαν αὐτῷ (Athenienses Demetrio a. 307) κατάλυσιν, κἀκεῖ δίαιταν εἶχε, τῆς Ἀθηνᾶς λεγομένης ὑποδέχεσθαι καὶ ξενίζειν αὐτόν, οὐ πάνυ κόσμιον ξένον οὐδὲ ὡς παρθένῳ πρᾴως ἐπισταθμεύοντα. ... 26 δι' ὃ καὶ Φιλιππίδης τὸν Στρατοκλέα λοιδορῶν ἐποίησεν ... καὶ περὶ τῆς ἐν Παρθενῶνι κατασκηνώσεως "Ὁ τὴν ἀκρόπολιν πανδοκεῖον ὑπολαβὼν Καὶ τὰς ἑταίρας εἰσαγαγὼν τῇ Παρθένῳ". | comp. Dem. et Ant. 4 οἱ μὲν γὰρ ἱστορικοί φασι καὶ τῆς ἀκροπόλεως ὅλης 34****

(24)6 τῷ κράνει Σφιγγὸς εἰκών (ἃ δὲ ἐς τὴν Σφίγγα λέγεται γράψω προελθόντος ἐς τὰ Βοιώτιά μοι τοῦ

εἴργεσθαι τὰς κύνας διὰ τὸ τὴν μῖξιν ἐμφανῆ μάλιστα τοῦτο ποιεῖσθαι τὸ ζῷον, ὃ δὲ ἐν αὐτῷ τῷ Παρθενῶνι ταῖς τε πόρναις συνῆν καὶ τῶν ἀστῶν κατεπόρνευσε πολλάς. | CLEMENS ALEX. protr. 54 (AA 201) τῷ τῆς Ἀθηνᾶς ἐνεφυρᾶτο (Demetrius) παστῷ. || ARISTIDES *51*, 57 (*27* p. 548 D.) ἔχοντι οὕτω μοι γίγνεται ὄψις ὀνειράτων τοιάδε. ἐδόκουν εἶναι μὲν Ἀθήνησιν ἄρτι κατηρκώς, οἰκεῖν δὲ ἐξόπισθεν τῆς ἀκροπόλεως (cf. AESCHINES *1*, 97 οἰκίαν ὄπισθεν τῆς πόλεως. HERODOTVS *8*, 53 ἔμπροσθε πρὸ τῆς ἀκροπόλιος) ἐν οἰκίᾳ Θεοδότου τοῦ ἰατροῦ, εἶναι δ' αὐτὴν πρώτην πρὸς ἥλιον ἀνίσχοντα· τοῦ δὲ νεὼ τῆς Ἀθηνᾶς ὁρᾶσθαι τὸν ὀπισθόδομον ἀπ' αὐτῆς, καὶ εἶναι πολὺ κατωτέρω τῆς ἀκροπόλεως τὴν οἰκίαν. || POLLVX *9*, 40 τὸ κατόπιν τῆς ἀκροπόλεως (ἂν εἴποις) Ὀπισθόδομον. || SCHOL. DEMOSTHENIS *24*, 136 (cf. ad u. 34†) ἰστέον ὅτι (τὰ ἱερὰ ins. White *Opisthod.* p. 6) χρήματα καὶ τῶν ἄλλων [ἱερῶν τῶν] θεῶν καὶ τῆς Ἀθηνᾶς ἔκειτο ἔν τινι οἰκήματι ὀπίσω τῆς ἀκροπόλεως, τῷ καλουμένῳ Ὀπισθοδόμῳ. || SCHOL. R ARISTOPHANIS Plut. 1193 μέρος ἐστὶ τῆς ἀκροπόλεως, ἔνθα ἦν τὸ (add. Suid.) ταμιεῖον, ὄπισθεν τοῦ τῆς Ἀθηνᾶς ναοῦ (ἐν ᾧ ἀπετίθεντο τὰ χρήματα add. Suid.). (SVIDAS.) | PHOTIVS ὀπισθόδομος· τὸ ὄπισθεν παντὸς οἰκήματος· ἢ ταμιεῖον τῆς πόλεως ἐν ἀκροπόλει, ὄπισθεν τοῦ τῆς Ἀθηνᾶς νεώ. | ETYMOL. M. Ὀπισθόδομος· . . . Ἀθήνησι τὸ ταμιεῖον τῶν ἱερῶν χρημάτων, ἐπεὶ ἦν ὄπισθεν τοῦ ἱεροῦ τῆς Ἀθηνᾶς. (ANECD. Bekk. p. 286, 26). || SCHOL. [DEMOSTHENIS] *13*, 14 τὸν Ὀπισθόδομον] οἶκος ὄπισθεν τοῦ νεὼ τῆς Ἀθηνᾶς, ἐν ᾧ ἀπετίθεντο τὰ χρήματα (HARPOCR. SVID., cf. SCHOL. DEMOSTH. *24*, 136 ὄπισθεν τῆς θεοῦ)· ἢ ἐν τῇ ἀκροπόλει τόπος ἔνθα τὸ δημόσιον ἀργύριον ἀπέκειτο καὶ ὁ φόρος. (HESYCH.) | SCHOL. LVCIANI fugit. 7 ἱερὸν τὸ ὄπισθεν τοῦ ἀδύτου οὕτω ἔλεγον, ἐν ᾧ καὶ ⟨τὰ⟩ δημόσια ἀπέκειτο χρήματα. || SCHOLION ARISTOPHANIS Plut. 1193 ὀπίσω τοῦ νεὼ τῆς καλουμένης Πολιάδος Ἀθηνᾶς διπλοῦς οἶκος (Michaelis coll. Paus. *1*, 26, 5: τοῖχος libri) ἔχων θύραν, ὅπου ἦν θησαυροφυλάκιον. (cf. ad u. 1191.) || ANONYMVS ARGENTORAT. 2 (AA 81) [ἔδοξε τὰ χρήματα] τὰ ἐν Δή(λ)ῳ ἀποκείμενα . . [μετακομίζ]ειν εἰς τὴν πόλιν (a. 450/49). || Ol. 88, 4 = 425/4 [ἐκ τοῦ Ὀπισθ]οδόμου XXX talenta in usum belli erogata sunt (CIA. I, 273, 20); cf. CIA. II, 741 (aetatis Lycurgeae), *B*, *c*, 6 [χρυ]σοῦ ἐξ ἀκροπόλεως ἐλάβομεν κ. τ. λ.

34† De administratione Opisthodomi u. AE 11 (τὸ ἐπὶ δεξιὰ τοῦ Ὀπισθοδόμου et τὸ ἐπ' ἀριστερά) et ad u. 35 extr.; cf. ARISTOTELES de re publ. Ath. 44 ἐπιστάτης τῶν πρυτανέων εἷς ὁ λαχὼν . . . τηρεῖ τὰς κλεῖς τῶν ἱερῶν, ἐν οἷς τὰ χρήματ' ἔστιν καὶ ⟨τὰ⟩ γράμματα τῇ πόλει. || In traditionibus rerum sacrarum satis rara Opisthodomi fit mentio (CIA. IV, *2*, 645 *b* (a. 399/8). II, 652, *B*, 23 (a. 398/7). IV, *2*, 653. II, 660, 61 (a. 390/89). 685. IV, *2*, 552 *b**), semel utriusque eodem anno (399/8: II, 645. IV, *2*, 645 *b*). || ARISTOPHANES Plut. (actae a. 388) 1191 ἱδρυσόμεσθ' αὐτίκα μάλ', ἀλλὰ περίμενε, Τὸν Πλοῦτον οὗπερ πρότερον ἦν ἱδρυμένος, Τὸν ὀπισθόδομον ἀεὶ φυλάττων τῆς θεοῦ. || DEMOSTHENES *24* (a. 354/3), 136 (AA 148) οἱ ταμίαι ἐφ' ὧν ὁ Ὀπισθόδομος ἐνεπρήσθη, καὶ οἱ τῶν τῆς θεοῦ καὶ οἱ τῶν ἄλλων θεῶν (i. e. post a. 385/4, cf. AA 146), ἐν τῷ οἰκήματι τούτῳ (τῷ δεσμωτηρίῳ) ἦσαν, ἕως ἡ κρίσις αὐτοῖς ἐγένετο. || IDEM personatus [*13*], 14 ἀνέῳξαν δήπου πρῴην τινὲς τὸν Ὀπισθόδομον. | LVCIANVS Tim. 53 πλουτεῖς τὸν Ὀπισθόδομον διορύξας. || APPIANVS Mithr. 39 συνηνέχθη (a Sulla a. 86) ἐκ τῆς ἀκροπόλεως χρυσίου μὲν ἐς τεσσαράκοντα λίτρας μάλιστα, ἀργύρου δ' ἐς ἑξακοσίας. || CICERO Verr. *1*, 45 (a. 70) *Athenis audistis ex aede Mineruae grande auri pondus ablatum: dictum est hoc in Cn. Dolabellae iudicio. dictum? etiam aestimatum. huius consilii non participem C. Verrem sed principem fuisse reperietis.* (cf. *5*, 184.)

35 τὸ ἄγαλμα] ἄγαλμα AE 14. | τὸ ἄγαλμα AE 17. CIA. II, 662, *B*, 15. THVC. *2*, 13. DIOD. SIC. *12*, 39. PLVT. Per. 31. SCHOL. DEMOSTH. *22*, 13. SCHOL. ARISTOPH. pac. 605. GALEN. XI p. 359 K. AENEAS GAZ. p. 54. | τὸ ἄγαλμα τῆς Ἀθηνᾶς ARISTOT. de re p. Ath. 47. DIOD. *12*, 39. 40. PLVT. de Is. et Osir. 76. | τὸ χρυσοῦν ἄγαλμα CIA. II, 649. 652, *A*, 41. | τὸ ἄγαλμα τὸ χρυσοῦν CIA. II. 657. 660, 19. 667, 31. 674, 12. IV, *2*, 652 *b*, 13. PHILOCHORVS (ad u. 35*). | [τὸ] χρυσῶ[τὸν (?) ἄγαλμα] AE 15. | [τὸ ἄγαλμα τὸ ἐν τῶι Ἑκ]ατομπέδωι AE 18. | τὸ ἐν Παρθενῶνι καθιδρυμένον τῆς Ἀθηνᾶς ἄγαλμα ZOSIMVS *4*, 18. MARINVS uit. Procl. 30. || τὸ ἕδος CIA. II, 652, *B*, 2. 654, 8. 660, 53. 661, 24. | τὸ τῆς Ἀθηνᾶς ἕδος ISOCR. *15*, 2. | τὸ χρυσοῦν ἕδος PLVT. Per. 13. || ἡ ἐκ χρυσοῦ καὶ ἐλέφαντος Ἀθηνᾶ SCHOL. DEMOSTH. *3*, 25. SCHOL. ARISTID. III p. 320 D. | ἡ χρυσελεφαντίνη Ἀθηνᾶ SCHOL. ARISTOPH. pac. 605. | ἡ ἐλεφαντίνη Ἀθηνᾶ (Ἀθηνᾶς εἰκών) ARISTID. *34*, 28 (*50* p. 556 D.). SYNCELLVS p. 471, 7. ARISTODEMVS 16. SVIDAS Φειδίας. | *Mineruae signum ex ebore* CIC. Brut. 257. | *eburnea Mineruae statua* EVSEB. ad Ol. 85. | *arcis eburna custos* OVID. ex Ponto *4*, 1, 31. || αὐτὴ ἡ θεός THVC. *2*, 13. | ἡ θεός

37 λόγου), καθ' ἑκάτερον δὲ τοῦ κράνους γρῦπές εἰσιν ἐπειργασμένοι. τούτους τοὺς γρῦπας ἐν τοῖς (24)

ARIST. eq. 1169. PLVT. de uit. aere al. 2. SYNES. de calu. 19. | ἡ Ἀθηνᾶ PAVS. *1*, 17, 2. | *Minerua* CIC. Tusc. *1*, 34. de or. *2*, 73. VAL. MAX. *8*, 14, 6. PLIN. *36*, 18. | ἡ ἐν Ἀθήναις Ἀθηνᾶ THEOPH. ANTIOCH. ad Autol. *1*, 10. ANON. de incredib. 2. ANON. de VII mirac. 5. | ἡ ἐν ἀκροπόλει Ἀθηνᾶ [ARISTOT.] de mundo 6. | ἡ Φειδίου Ἀθηνᾶ PLAT. Hipp. mai. 12. AESCH. *3*, 150. ARISTID. *48*, 41 (*24* p. 475 D.). ARRIAN. diss. Epict. *2*, 8, 20. THEMIST. or. 25 p. 309 D. MAX. TYR. diss. 14, 6. DIOG. LAERT. *2*, 116. POLL. *7*, 92. ANON. de VII mirac. 6. || Παρθένος ARISTOPH. au. 670. | ἡ Παρθένος PHIDIPPIDES ap. Plut. Demetr. 26. SCHOL. ARISTID. III p. 657 D. GREGOR. NAZIANZ. carm. *1*, 2, 10, 864. | ἡ καλουμένη Παρθένος PAVS. *5*, 11, 10. *10*, 34, 8. | Παρθένος Ἀθηνᾶ SCHOL. DEM. *22*, 13. | ἡ Πολιάς CLEM. ALEX. protr. 47. EVST. ad Hom. λ 634. || ARISTOTELES de re publ. Athen. 47 οἱ ταμίαι τῆς Ἀθηνᾶς παραλαμβάνουσι τό τε ἄγαλμα τῆς Ἀθηνᾶς καὶ τὰς Νίκας καὶ τὸν ἄλλον κόσμον καὶ τὰ χρήματα ἐναντίον τῆς βουλῆς. cf. AE 18.

35* ἐλέφαντος καὶ χρυσοῦ] Cf. ad u. 35 et 35**. || PHILOCHORVS fr. 97 τὸ ἄγαλμα τὸ χρυσοῦν τῆς Ἀθηνᾶς ... ἔχον χρυσίου σταθμὸν ταλάντων μδ'. | THVCYDIDES *2*, 13 ... καὶ ἦν πάνυ ἐξείργωνται πάντων, καὶ αὐτῆς τῆς θεοῦ τοῖς περικειμένοις χρυσίοις (χρήσεσθαι αὐτούς). ἀπέφαινε δ' ἔχον (Pericles) τὸ ἄγαλμα τεσσαράκοντα τάλαντα σταθμὸν χρυσίου ἀπέφθου καὶ περιαιρετὸν εἶναι ἅπαν· χρησαμένους τε ἐπὶ σωτηρίᾳ ἔφη χρῆναι μὴ ἐλάσσω ἀντικαταστῆσαι πάλιν. | PLVTARCHVS de uit. aere al. 2 καίτοι ὅ γε Περικλῆς ἐκεῖνος τὸν τῆς θεᾶς κόσμον ἄγοντα τάλαντα τεσσαράκοντα χρυσίου ἀπέφθου περιαιρετὸν ἐποίησεν. | DIODORVS SIC. *12*, 40 ἔν τε τοῖς ἱεροῖς ἀπεδείκνυεν ἀναθημάτων τε πλῆθος καὶ τὸ τῆς Ἀθηνᾶς ἄγαλμα ἔχειν χρυσίου πεντήκοντα τάλαντα, ὡς περιαιρετῆς οὔσης τῆς περὶ τὸν κόσμον κατασκευῆς. | Cf. infra c. 25, 44 cum adnotatione. | ARISTOPHANES au. 670 Ὅσον δ' ἔχει (ἡ Πρόκνη) τὸν χρυσόν, ὥσπερ Παρθένος. || PHILOCHORVS fr. 97 Φειδίας .. δόξας παραλογίζεσθαι τὸν ἐλέφαντα τὸν εἰς τὰς φολίδας. | ARISTOPHANES eq. 1169 ὑπὸ τῆς θεοῦ τῇ χειρὶ τἠλεφαντίνῃ. | PLATO Hipp. mai. 12 "Τοῦτο τὸ καλὸν ὃ σὺ λέγεις (ὅτι τὸ καλὸν οὐδὲν ἄλλο ἢ χρυσός) ἠγνόει Φειδίας;" καὶ ἐγώ "Τί μάλιστα;" φήσω. "Ὅτι" ἐρεῖ "τῆς Ἀθηνᾶς τοὺς ὀφθαλμοὺς οὐ χρυσοῦς ἐποίησεν οὐδὲ τὸ ἄλλο πρόσωπον, οὐδὲ τοὺς πόδας οὐδὲ τὰς χεῖρας, εἴπερ χρυσοῦν γε δὴ ὂν κάλλιστον ἔμελλε φαίνεσθαι, ἀλλ' ἐλεφάντινον." ... "Τοῦ οὖν ἕνεκα" φήσει „οὐ καὶ τὰ μέσα τῶν ὀφθαλμῶν ἐλεφάντινα εἰργάσατο ἀλλὰ λίθινα, ὡς οἷόν τ' ἦν ὁμοιότητα τοῦ λίθου τῷ ἐλέφαντι ἐξευρών;" || PARIS epit. Val. Max. *1*, 1, ext. 7 *iidem* (Athenienses) *Phidiam tulerunt, quam diu marmore potius quam ebore Mineruam fieri debere dicebat, quod diutius nitor esset mansurus, sed ut adiecit et uilius, tacere iusserunt.* || PAVSANIAS *5*, 11, 10 ἐν ἀκροπόλει τῇ Ἀθηναίων τὴν καλουμένην Παρθένον οὐκ ἔλαιον, ὕδωρ δὲ τὸ ἐς τὸν ἐλέφαντα ὠφελοῦν ἐστίν· ἅτε γὰρ αὐχμηρᾶς τῆς ἀκροπόλεως οὔσης διὰ τὸ [ἄγαν] (del. Michaelis tamquam e sequenti ἄγαλμα ortum) ὑψηλὸν τὸ ἄγαλμα ἐλέφαντος πεποιημένον ὕδωρ καὶ δρόσον τὸν ἀπὸ τοῦ ὕδατος ποθεῖ.

laudes statuae] SCHOL. DEMOSTHENIS *3*, 25 35** ταῦτα πάντα ἐποιήσαν⟨το⟩ καὶ ἀνέθεσαν ἀπὸ τῶν λαφύρων τῶν Περσικῶν ... καὶ τὴν χαλκῆν Ἀθηνᾶν καὶ τὴν ἐκ χρυσοῦ καὶ ἐλέφαντος. | *22*, 13 Παρθενὼν ναὸς ἦν ἐν τῇ ἀκροπόλει Παρθένου Ἀθηνᾶς, περιέχων τὸ ἄγαλμα τῆς θεοῦ, ὅπερ ἐποίησεν ὁ Φειδίας ὁ ἀνδριαντοπλάστης ἐκ χρυσοῦ καὶ ἐλέφαντος. τρία γὰρ ἀγάλματα ἦν ἐν τῇ ἀκροπόλει τῆς Ἀθηνᾶς ἐν διαφόροις τόποις, ἓν μὲν ἐξ ἀρχῆς γενόμενον, ἐξ ἐλαίας, ὅπερ ἐκαλεῖτο Πολιάδος Ἀθηνᾶς διὰ τὸ αὐτῆς εἶναι τὴν πόλιν, δεύτερον δὲ ἀπὸ χαλκοῦ μόνον, ὅπερ ἐποιήσαν⟨το⟩ νικήσαντες [οἱ] ἐν Μαραθῶνι· ἐκαλεῖτο δὲ τοῦτο Προμάχου Ἀθηνᾶς. τρίτον ⟨δὲ⟩ ἐποιήσαντο ἐκ χρυσοῦ καὶ ἐλέφαντος ὡς πλουσιώτεροι γενόμενοι ἀπὸ τῆς ἐν Σαλαμῖνι νίκης, ὅσῳ καὶ μείζων ἡ νίκη· καὶ ἐκαλεῖτο τοῦτο Παρθένου Ἀθηνᾶς. | SCHOL. ARISTID. III, p. 320 et 657 D. u. ad c. 28, 4. || PLINIVS *34*, 54 *Phidias praeter Iouem Olympium, quem nemo aemulatur, fecit ex ebore aeque Mineruam Athenis quae est in Parthenone stans.* | CLEMENS ALEX. protr. 47 τὸν Ὀλυμπίασι Δία καὶ τὴν Ἀθήνησιν Πολιάδα ἐκ χρυσοῦ καὶ ἐλέφαντος κατασκευάσαι Φειδίαν παντί που σαφές. | THEOPHILVS ANTIOCH. ad Autolycum *1*, 10 (15) Φειδίας εὑρίσκεται ἐν Πείσῃ ποιῶν Ἠλείοις τὸν Ὀλύμπιον Δία καὶ Ἀθηναίοις ἐν ἀκροπόλει τὴν Ἀθηνᾶν. | ANONYMVS de incredib. 2 in Galei Opusc. mythol. p. 86 τὰ ἑπτὰ θεάματα ... τινὲς δὲ τάττουσιν .. καὶ τὴν ἱσταμένην Ἀθηνᾶν ἐν Ἀθήναις ... | ANONYMI de septem miraculis apud Pasinum codd. mss. bibl. Taurin. I p. 73 .. ς'. ἡ τοῦ Φειδίου Ἀθηνᾶ ἐν Ἀθήναις κατεσκευασμένη ἐξ ἐλέφαντος καὶ χρυσοῦ, et ε'. ἡ ἐν Ἀθήναις Ἀθηνᾶ. || AESCHINES *3*, 150 διώμνυτο (Demosthenes) τὴν Ἀθηνᾶν, ἣν ὡς ἔοικε Φειδίας ἐνεργολαβεῖν εἰργάσατο καὶ ἐνεπιορκεῖν Δημοσθένει. || ISOCRATES *15*, 2 ὥσπερ ἂν εἴ τις Φειδίαν τὸν τὸ τῆς Ἀθηνᾶς ἕδος ἐργασάμενον τολμῴη καλεῖν κοροπλάθον. || CICERO Brut. 257 *Atheniensium plus interfuit firma tecta in domiciliis habere quam Mineruae signum ex ebore pulcherrimum; tamen ego me Phidiam esse mallem quam uel optimum fabrum tignuarium.* ||

(24) ἔπεσιν Ἀριστέας ὁ Προκοννήσιος μάχεσθαι περὶ τοῦ χρυσοῦ φησὶν Ἀριμασποῖς ⟨τοῖς⟩ ὑπὲρ Ἰσσηδόνων· τὸν δὲ χρυσὸν ὃν φυλάσσουσιν οἱ γρῦπες ἀνιέναι τὴν γῆν· εἶναι δὲ Ἀριμασποὺς μὲν ἄνδρας μονοφθάλμους πάντας ἐκ γενετῆς, γρῦπας δὲ θηρία λέουσιν εἰκασμένα, πτερὰ δὲ ἔχειν καὶ
7 στόμα ἀετοῦ. καὶ γρυπῶν μὲν πέρι τοσαῦτα εἰρήσθω· τὸ δὲ ἄγαλμα τῆς Ἀθηνᾶς ὀρθόν ἐστιν ἐν

38 τοῖς add. Coraes ⟨οἰκοῦσιν⟩ Wieseler p. 330

Diogenes Laertivs *2*, 116 τοῦτόν φασιν (Stilponem) περὶ τῆς Ἀθηνᾶς τῆς τοῦ Φειδίου τοιοῦτόν τινα λόγον ἐρωτῆσαι "Ἆρά γε ἡ τοῦ Διὸς Ἀθηνᾶ θεός ἐστι;" φήσαντος δὲ "Ναί" "Αὕτη δέ γε" εἶπεν "οὐκ ἔστι Διὸς ἀλλὰ Φειδίου." συγχωρουμένου δὲ "Οὐκ ἄρα" εἶπεν "θεός ἐστιν." || Galenvs XI p. 359 K. ὅμοιόν τι πείσεσθαι προσδοκῶν οἷον ἂν ἔπαθε καὶ Φειδίας, εἰ μετὰ τὸ τῆς Ἀθηνᾶς ἄγαλμα πλάττειν ἠναγκάζετο δάκτυλον μὲν ἰδίᾳ, ἰδίᾳ δὲ αὖ βραχίονα καὶ πόδα καὶ ῥῖνα καὶ οὖς ἕκαστόν τε τῶν ἄλλων μορίων. || Aeneas Gaz. p. 54 Boiss. ἡ ἀγαλματοποιία τοῦ Φειδίου τέχνη· ἀλλ' ὅμως δημιουργὸς ἦν, εἰ καὶ μὴ ἅμα τὸ ἐν ἀκροπόλει καὶ ἐν Ὀλυμπίᾳ πεποίηκεν ἄγαλμα.

35*** Φειδίας, Περικλῆς] Evsebivs ad Ol. 85, 1 (Armen.) uel 85, 2 (Hieron.) *Phidias eburneam Mineruae statuam* (*Mineruam* Hieron.) *fecit.* | Syncellvs p. 471, 7 Φειδίας πλάστης καὶ ἀγαλματοποιὸς ἐγνωρίζετο, ὃς τὴν ἐλεφαντίνην Ἀθηνᾶν ἐποίησε. || schol. Aristophanis pac. 605 Πρῶτα μὲν γὰρ † αὐτῆς ἦρξε Φειδίας πράξας κακῶς] Φιλόχορος ἐπὶ Θεοδώρου (Palmerius: πυθοδώρου RV) ἄρχοντος (Ol. 85, 3 = 438/7) ταῦτά φησι "καὶ τὸ ἄγαλμα τὸ χρυσοῦν τῆς Ἀθηνᾶς ἐστάθη εἰς τὸν νεὼν τὸν μέγαν, ἔχον χρυσίου σταθμὸν ταλάντων μδ', Περικλέους ἐπιστατοῦντος, Φειδίου δὲ ποιήσαντος. καὶ Φειδίας ὁ ποιήσας, δόξας παραλογίζεσθαι τὸν ἐλέφαντα τὸν εἰς τὰς φολίδας, ἐκρίθη, καὶ φυγὼν εἰς Ἦλιν ἐργολαβῆσαι τὸ ἄγαλμα τοῦ Διὸς τοῦ ἐν Ὀλυμπίᾳ λέγεται, τοῦτο δὲ ἐξεργασάμενος ἀποθανεῖν ὑπὸ Ἠλείων" (ὑπὸ Ἠλ. del. RSchoell *Sitzungsber. d. bayr. Ak.* 1888, I p. 35), ἐπὶ Πυθοδώρου (Palmerius: σκυθοδώρου RV), ὅς ἐστιν ἀπὸ τούτου ἕβδομος (Ol. 87, 1 = 432/1), περὶ Μεγαρέων εἰπὼν . . . λέγουσι δέ τινες ὡς Φειδίου τοῦ ἀγαλματοποιοῦ δόξαντος παραλογίζεσθαι τὴν πόλιν καὶ φυγαδευθέντος ὁ Περικλῆς φοβηθεὶς διὰ τὸ ἐπιστατῆσαι τῇ κατασκευῇ τοῦ ἀγάλματος καὶ συνεγνωκέναι τῇ κλοπῇ ἔγραψε τὸ κατὰ Μεγαρέων πινάκιον καὶ τὸν πόλεμον ἐξήνεγκεν, ἵνα ἀπησχολημένοις Ἀθηναίοις εἰς τὸν πόλεμον μὴ δῷ τὰς εὐθύνας . . ἄλογος δὲ φαίνεται ἡ κατὰ Περικλέους ὑπόνοια, ἑπτὰ ἔτεσι πρότερον τῆς τοῦ πολέμου ἀρχῆς τῶν περὶ Φειδίαν γενομένων. | schol. V ὁ Φειδίας, ὥς Φιλόχορός φησιν, ἐπὶ Πυθοδώρου ἄρχοντος τὸ ἄγαλμα τῆς Ἀθηνᾶς κατασκευάσας ὑφείλετο τὸ χρυσίον ἐκ τῶν δρακόντων τῆς χρυσελεφαντίνης Ἀθηνᾶς, ἐφ' ᾧ καταγνωσθεὶς ἐζημιώθη φυγῇ· γενόμενος δὲ εἰς Ἦλιν καὶ ἐργολαβήσας παρὰ τῶν Ἠλείων τὸ ἄγαλμα τοῦ Διὸς τοῦ Ὀλυμπίου καὶ καταγνωσθεὶς ὑπ' αὐτῶν ὡς νοσφισάμενος ἀνῃρέθη. || Aristodemvs 16 φασὶν ὅτι τῶν Ἀθηναίων κατασκευαζόντων τὴν ἐλεφαντίνην Ἀθηνᾶν καὶ ἀποδειξάντων ἐργεπιστάτην τὸν Περικλέα, τεχνίτην δὲ Φειδίαν, ἁλόντος τοῦ Φειδίου ἐπὶ νοσφισμῷ εὐλαβηθεὶς ὁ Περικλῆς μὴ καὶ αὐτὸς εὐθύνας ἀπαιτηθῇ, βουλόμενος ἐκκλῖναι τὰς κρίσεις ἐπολιτεύσατο τὸν πόλεμον τοῦτον, γράψας τὸ κατὰ Μεγαρέων ψήφισμα. || Svidas Φειδίας· ἀγαλματοποιὸς ὃς ἐλεφαντίνην (Michaelis: ἐλεφαντίνης ug. τὴν τῆς ἐλεφ. CMueller FHGr. V p. 17) Ἀθηνᾶς εἰκόνα ἐποίησε· Περικλῆς δὲ ἐπὶ τοῖς ἀναλώμασι ταχθεὶς ἐνοσφίσατο πεντήκοντα τάλαντα, καὶ ἵνα μὴ δῷ τὰς εὐθύνας πόλεμον ἐκίνησε. || Diodorvs Sic. *12*, 39 τὸ τῆς Ἀθηνᾶς ἄγαλμα Φειδίας μὲν κατεσκεύαζε, Περικλῆς δὲ ὁ Ξανθίππου καθεσταμένος ἦν ἐπιμελητής. τῶν δὲ συνεργασαμένων τῷ Φειδίᾳ τινὲς διενεχθέντες ⟨αὐτῷ καὶ πεισθέντες⟩ (Sauppe ins. *Gött. Nachr.* 1867 p. 174) ὑπὸ τῶν ἐχθρῶν τοῦ Περικλέους ἐκάθισαν ἐπὶ τὸν τῶν ⟨ιβ'⟩ (suppl. Sauppe *Ueb. Plutarchs Perikles* p. 14) θεῶν βωμόν. διὰ τὸ παράδοξον δὲ προσκαλούμενοι ἔφασαν πολλὰ τῶν ἱερῶν χρημάτων ἔχοντα Φειδίαν δείξειν ἐπισταμένου καὶ συνεργοῦντος τοῦ ἐπιμελητοῦ Περικλέους. διόπερ ἐκκλησίας συνελθούσης περὶ τούτων οἱ μὲν ἐχθροὶ τοῦ Περικλέους ἔπεισαν τὸν δῆμον συλλαβεῖν τὸν Φειδίαν καὶ αὐτοῦ τοῦ Περικλέους κατηγόρουν ἱεροσυλίαν. || Plvtarchvs Per. 13 ὁ Φειδίας εἰργάζετο μὲν τῆς θεοῦ τὸ χρυσοῦν ἕδος καὶ τούτου δημιουργὸς ἐν τῇ στήλῃ (ad u. 34***) ἀναγέγραπται (Cobet nou. lect. p. 773: εἶναι γέγρ. ug.). | 31 Φειδίας ὁ πλάστης ἐργολάβος μὲν ἦν τοῦ ἀγάλματος, ὥσπερ εἴρηται, φίλος δὲ τῷ Περικλεῖ γενόμενος καὶ μέγιστον παρ' αὐτῷ δυνηθεὶς τοὺς μὲν δι' αὐτὸν ἔσχεν ἐχθροὺς φθονούμενος, οἱ δὲ τοῦ δήμου ποιούμενοι πεῖραν ἐν ἐκείνῳ, ποῖός τις ἔσοιτο Περικλεῖ κριτής, Μένωνά τινα τῶν Φειδίου συνεργῶν πείσαντες ἱκέτην ἐν ἀγορᾷ καθίζουσιν αἰτούμενοι ἄδειαν ἐπὶ μηνύσει καὶ κατηγορίᾳ τοῦ Φειδίου. προσδεξαμένου δὲ τοῦ δήμου τὸν ἄνθρωπον καὶ γενομένης ἐν ἐκκλησίᾳ (Sauppe: ἐν ἐκκλ. καὶ γεν. ug.) διώξεως κλοπαὶ μὲν οὐκ ἠλέγχοντο (τὸ γὰρ χρυσίον οὕτως εὐθὺς ἐξ ἀρχῆς τῷ ἀγάλματι προσειργάσατο καὶ περιέθηκεν ὁ Φειδίας γνώμῃ τοῦ Περικλέους, ὥστε πᾶν δυνατὸν εἶναι περιελοῦσιν ἀποδεῖξαι τὸν σταθμόν,

42 χιτῶνι ποδήρει, καί οἱ κατὰ τὸ στέρνον ἡ κεφαλὴ Μεδούσης ἐλέφαντός ἐστιν ἐμπεποιημένη. καὶ Νίκην τε ὅσον τεσσάρων πηχῶν, ἐν δὲ τῇ χειρὶ ⟨τῇ ἑτέρᾳ⟩ δόρυ ἔχει, καί οἱ πρὸς τοῖς ποσὶν ἀσπίς τε κεῖται καὶ πλησίον τοῦ δόρατος δράκων ἐστίν· εἴη δ' ἂν Ἐριχθόνιος οὗτος ὁ δράκων. (24)

43 Νίκην Schubart: νίκη codices | ὅσον τε Porson | post πηχῶν lacunam indicauit recepta Νίκην lectione Iahn, seruata codicum scriptura Michaelis *Parthenon* p. 268 | τῇ χειρὶ ⟨τῇ ἑτέρᾳ⟩ ESeemann quaestt. ad Paus. spect. p. 19, τῇ ⟨ἑτέρᾳ⟩ χειρὶ praeierat Schubart. Νίκη . . . ἐν τῇ χειρί, ἐν δὲ τῇ δόρυ CFHermann ap. Schubartum

ὃ καὶ τότε τοὺς κατηγόρους ἐκέλευσε ποιεῖν ὁ Περικλῆς), ἡ δὲ δόξα κ. τ. λ. cf. ad u. 44.

36 Σφίγξ] PAVSANIAS *9*, 26, 2—4.

41 Statua uniuersa (cf. tab. XIII. XXXV, 5—9. XXXVII, 6—10)] PLINIVS *36*, 18 *Phidian clarissimum esse per omnis gentis quae Iouis Olympii famam intellegunt nemo dubitat, sed ut laudari merito sciant etiam qui opera eius non uidere, proferemus argumenta parua et ingeni tantum. neque ad hoc Iouis Olympii pulchritudine utemur, non Mineruae Athenis factae amplitudine, cum sit ea cubitorum uiginti sex (ebore haec et auro constat), sed in scuto eius Amazonum proelium caelauit in tumescente ambitu, in* (Michaelis *Parth.* p. 268: *intumescente ambitum* Bamb.) *parmae eiusdem concaua parte deorum et Gigantum dimicationes, in soleis uero Lapitharum et Centaurorum: adeo* † *momenta omnia capacia artis illi fuere.* (19) *in basi autem quod caelatum est — Pandoras genesin appellant —* (distinxit Lachmannus apud Gerhardum *Festgedanken* p. 6) *dii adsunt nascenti* (Boettiger *Andeut.* p. 90: *sunt nascentes* libri *sunt adstantes* Letronne ap. Broendstedium *Reisen* II p. 219 *sunt nascenti adstantes* idem *Annali* 1830 p. 109 *sunt dona ferentes* COMueller de Phid. p. 23) *XX* (*XII* Studniczka) *numero. Victoria praecipue mirabili* (haec Quatremère *Jup. Olympien* p. 242 ab eis quae praecedunt seiunxit) *periti mirantur et serpentem, ac sub ipsa cuspide* (*casside* Quatremère. *supra ipsam cassidem* Meursius Cecrop. c. 15) *auream* (Gurlitt *Ueber Pausanias* p. 88: *aeream* libri) *sphingem* (*serpentem sub ipsa cuspide aereum* [*aureum* Vrlichs] *ac sphingem* Panofka *Annali* 1830 p. 110). || ARISTIDES *48*, 41 (*24* p. 475 D.) ἡ Ἀθηνᾶ φαίνεται, τήν τε αἰγίδα ἔχουσα καὶ τὸ κάλλος καὶ τὸ μέγεθος καὶ σύμπαν δὴ σχῆμα οἷαπερ ἡ Ἀθήνησιν ἡ Φειδίου. || MAXIMVS TYR. diss. 14, 6 u. ad c. 28, 4.

42 κεφαλὴ Μεδούσης] ISOCRATES *18*, 57 ὥσπερ ἂν εἴ τῳ Φρυνώνδας πανουργίαν ὀνειδίσειεν, ἢ Φιλοῦργος ὁ τὸ γοργόνειον ὑφελόμενος τοὺς ἄλλους ἱεροσύλους ἔφασκεν εἶναι. (cf. PHOT. SVID. Φιλοῦργος. ANECD. Bekk. p. 315, 20.) | SYNESIVS de caluitie 19 p. 83 A ὅμοιον εἰ καὶ Φιλέας Ἀνδοκίδην ἱεροσυλίας ἐγράψατο, ὥσπερ οὐκ αὐτὸς ὢν ὁ τῆς θεοῦ τὸ γοργόνειον ἐξ ἀκροπόλεως ὑφελόμενος. (SVID. ὅμοιον. Φιλέας.) | at cf. EVSTATHIVS ad Od. λ, 634 τὸ γοργόνειον, εἴδωλόν τι αὐτὸ Γοργόνος ἀνακείμενον Ἀθηνᾷ Πολιάδι, οὗ χρῆσις ἐν τῷ "τῆς θεοῦ — ὑφελόμενος". forsitan haec aut ad Poliadem spectent (cf. ad c. 26, 35) aut ad clipeum (cf. ad u. 44).

Νίκη] Rebus sacris in Hecatompedo seruatis a. 428/7 additus est στέφανος χρυσοῦς ὃν ἡ Νίκη ἔχει· σταθμὸν τούτου ΡΔΔ (CIA. I, 149, 8), cuius mentio fit usque ad annum 405/4. inde ab ineunte saeculo quarto passim commemoratur στέφανος χρυσοῦς ὃν ἡ Νίκη ἔχει ἐπὶ τῆς κεφαλῆς ἡ ἐπὶ τῆς χειρὸς τοῦ ἀγάλματος τοῦ χρυσοῦ, ἄσταθμος (CIA. II. 649. 651. IV, *2*, 652*b*. II, 652, *A*, 40. 654, *a*, 23. 658. 667. 719. 727) siue ἄστατος (II, 660. 674). praeterea in Parthenone ab eodem fere tempore recensentur πέταλα θαλλοῦ χρυσᾶ τέτταρα ἀπὸ τοῦ στεφάνου ὃν ἡ Νίκη ἔχει ἡ ἐπὶ τῆς χειρὸς τοῦ ἀγάλματος· σταθμὸν τούτων ΓΗΙΙ (CIA. II, 645. 646. 656. 675), cf. [λημνί]σκω δύο [καὶ] θαλλὸς χρυσοῦ[ς πετάλω]ν τ[εττάρων· σταθμ]ὸν [τ]ούτων ΔΔΔΓΙΙΙ (CIA. I, 165. 166. 168. 174). cf. Demosth. *22*, 70. || DEMOSTHENES *24*, 121 cum scholio u. ad c. 22, 22. || PLINIVS *36*, 19 (ad u. 41) *Victoria praecipue mirabili.* || ARRIANVS diss. Epict. *2*, 8, 20 καὶ ἡ Ἀθηνᾶ ἡ Φειδίου ἅπαξ ἐκτείνασα τὴν χεῖρα καὶ τὴν Νίκην ἐπ' αὐτῆς δεξαμένη ἕστηκεν οὕτως ὅλῳ τῷ αἰῶνι. 43

χείρ] GREGORIVS NAZIANZ. carm. *1*, 2, 10, 863 Καὶ Φειδίᾳ τὰ παιδίκ' ἐν τῷ δακτύλῳ Τῆς Παρθένου γραφέντα "Πανταρκης καλός". (cf. CLEM. ALEXANDR. protr. 53 c. scholio.) 43*

δόρυ] AMPELIVS lib. memor. 8, 10 *ipsa dea habet hastam de gramine.* || PLINIVS *36*, 19 (ad u. 41) *sub ipsa cuspide auream sphingem.* 43**

πόδες] PLINIVS *36*, 18 (ad u. 41) *in soleis Lapitharum et Centaurorum* (*dimicationes*). || POLLVX 7, 92 Τυρρηνικά· τὸ κάττυμα ξύλινον τετράγωνον, οἱ δὲ ἱμάντες ἐπίχρυσοι· σανδάλιον γὰρ ἦν, ὑπέδησε δ' αὐτὸ Φειδίας τὴν Ἀθηνᾶν. 43***

ἀσπίς (cf. tab. XXXVII, 7—10)] CIA. II, 652 (a. 398/7), *B*, 2 inter ἐπέτεια Hecatompedi enumeratur γοργόνειον χρυσοῦν ὑπάργυρον ἀπὸ τῆς ἀσπίδος τῆς ἀπὸ τοῦ ἕδους. cf. CIA. II, 660 (a. 390/89), 53. 661, 23. || inde ab anno fere 370 in tabulis quaestorum Mineruae recensentur χρυσίον ἐπίτηκτον ἀπὸ τῆς ἀσπίδος, σταθμὸν σὺν τῷ ἀ[ργυρίῳ - -]. ἕτερον 44

(24) ἔστι δὲ τῷ βάθρῳ τοῦ ἀγάλματος ἐπειργασμένη Πανδώρας γένεσις. πεποίηται δὲ Ἡσιόδῳ τε καὶ ἄλλοις ὡς ἡ Πανδώρα γένοιτο αὕτη γυνὴ πρώτη· πρὶν δὲ ἢ γενέσθαι Πανδώραν οὐκ ἦν πω γυναικῶν γένος.

46 πρὶν — γένος om. La

ἐπίτηκτον [χρυσίον, σταθμὸ]ν ΗΗΗΙC· ἕτερον χρυσίον ἐ[πίκτητον ἀπὸ τῶν] ἀκρωτηρίων, στ[αθμὸν - -]· ἕτερον χρ[υσίον ἐπίκτητον, σταθμὸν σὺν τῷ] ἀργυρί[ῳ - - (CIA. II, 698 (a. 350/49), II, 31 seqq. coll. 679, I, 32. 738, 4). incertius num huc pertineat γοργόνειον ἀσπίδος· ἐπίτηκτα ἐπάργυρα (siue ὑπάργυρα), σταθμὸν ΗΗΗΠ - - in Hecatompedo seruatum (CIA. II, 665, 11. 666, 11. 667 (a. 385/4), 45). ‖ ἀσπὶς ἐντελής CIA. II, 719 (a. 321/20), 6. cf. AE 17. ‖ PLINIVS *36*, 18 (ad u. 41) *in scuto Amazonum proelium in tumescente ambitu, in parmae eiusdem concaua parte deorum et Gigantum dimicationes.* | IDEM *35*, 54 *cum et Phidian ipsum initio pictorem fuisse tradatur clipeumque Athenis ab eo pictum.* ‖ PAVSANIAS *1*, 17, 2 πεποίηταί σφισιν ὁ πόλεμος οὗτος (ὁ πρὸς Ἀμαζόνας) καὶ τῇ Ἀθηνᾷ ἐπὶ τῇ ἀσπίδι. ‖ DIO CHRYSOST. *12*, 6 Περικλέα καὶ αὐτὸν λαθὼν ἐποίησεν (Phidias) ὥς φασιν ἐπὶ τῆς ἀσπίδος. | PLVTARCHVS Per. 31 (ad u. 35*** extr.) ἡ δὲ δόξα τῶν ἔργων ἐπίεζε φθόνῳ τὸν Φειδίαν, καὶ μάλισθ' ὅτι τὴν πρὸς Ἀμαζόνας μάχην ἐν τῇ ἀσπίδι ποιῶν αὑτοῦ ⟨τε⟩ τινὰ μορφὴν ἐνετύπωσε πρεσβύτου φαλακροῦ πέτρον ἐπηρμένου δι' ἀμφοτέρων τῶν χειρῶν καὶ τοῦ Περικλέους εἰκόνα παγκάλην ἐνέθηκε μαχομένου πρὸς Ἀμαζόνα. τὸ δὲ σχῆμα τῆς χειρὸς ἀνατεινούσης δόρυ πρὸ τῆς ὄψεως τοῦ Περικλέους πεποιημένον εὐμηχάνως οἷον ἐπικρύπτειν βούλεται τὴν ὁμοιότητα παραφαινομένην ἑκατέρωθεν. ὁ μὲν οὖν Φειδίας εἰς τὸ δεσμωτήριον ἀπαχθεὶς ἐτελεύτησε νοσήσας κ. τ. λ. ‖ CICERO Tusc. disp. *1*, 34 *sed quid poetas? opifices post mortem nobilitari uolunt. quid enim Phidias?* (distinxit Michaelis *Parth.* p. 365) *sui similem speciem inclusit in clupeo Mineruae, cum inscribere ⟨nomen⟩ non liceret* (*nomen* ins. Ernestius *nomen liceret* ISchulze ad Winckelmannum *Werke* VI, 2 p. 117). *quid nostri philosophi? nonne* . . . ‖ IDEM de orat. *2*, 73 *siquis illam artem* (oratoriam) *comprehenderit, ut tamquam Phidias Mineruae signum efficere possit, non sane quemadmodum, ⟨ut⟩ in clipeo idem artifex, minora illa opera facere discat laborabit.* ‖ IDEM orat. 234 *siquos magis delectant soluta, sequantur ea sane, modo sic ut, siquis Phidiae clupeum dissoluerit, collocationis uniuersam speciem sustulerit, non singulorum operum uenustatem.* | VALERIVS MAX. *8*, 14, 6 *Phidiae secutus exemplum, qui clipeo Mineruae effigiem suam inclusit, qua conuulsa tota operis conligatio solueretur.* ‖ [ARISTOT.] de mundo 6 φασὶ δὲ καὶ τὸν ἀγαλματοποιὸν Φειδίαν κατασκευαζόμενον τὴν ἐν ἀκροπόλει Ἀθηνᾶν ἐν μέσῃ τῇ ταύτης ἀσπίδι τὸ ἑαυτοῦ πρόσωπον ἐντυπώσασθαι καὶ συνδῆσαι τῷ ἀγάλματι διά τινος ἀφανοῦς δημιουργίας, ὥστε ἐξ ἀνάγκης, εἴ τις βούλοιτο αὐτὸ περιαιρεῖν, τὸ σύμπαν ἄγαλμα λύειν τε καὶ συγχεῖν. (cf. de mirab. auscult. 155.) | APVLEIVS de mundo 32 *Phidian illum, quem fictorem probum fuisse tradit memoria, uidi ipse in clipeo Mineruae quae arcibus Atheniensium praesidet oris ⟨sui⟩* (inseruit Michaelis *Parth.* p. 269) *similitudinem colligasse ita ut, siquis olim artificis uoluisset exinde imaginem separare, soluta compage simulacri totius incolumitas interiret.* ‖ AMPELIVS lib. memor. 8, 10 *Athenis Mineruae aedes nobilis, cuius ad sinistram clipeus appositus, quem digito tangit; in quo clipeo medio Daedali est imago ita collocata, quam siquis imaginem e clipeo uelit tollere, pereat* (Michaelis: *perit* cod.) *totum opus; soluitur enim signum.* ‖ PAVSANIAS *10*, 34, 8 τὸ ἄγαλμα (Mineruae Cranaeae prope Elateam) ἐποίησαν μὲν καὶ τοῦτο οἱ Πολυκλέους παῖδες (Timocles et Timarchides), ἔστι δὲ ἐσκευασμένον ὡς ἐς μάχην, καὶ ἐπείργασται τῇ ἀσπίδι τῶν Ἀθήνησι μίμημα ἐπὶ τῇ ἀσπίδι τῆς καλουμένης ὑπὸ Ἀθηναίων Παρθένου.

δράκων] PLVTARCHVS de Is. et Osir. 76 τῷ 44* τῆς Ἀθηνᾶς (ἀγάλματι) τὸν δράκοντα Φειδίας παρέθηκε, τῷ δὲ τῆς Ἀφροδίτης ἐν Ἤλιδι τὴν χελώνην, ὡς τὰς μὲν παρθένους φυλακῆς δεομένας, ταῖς δὲ γαμεταῖς οἰκουρίαν καὶ σιωπὴν πρέπουσαν. ‖ Cf. SERVIVS ad Verg. Aen. *2*, 227 *clipeique sub orbe teguntur*] *ut maxima pars in spiram collecta ante pedes sit; colla uero cum capitibus erectis post clipeum, id est inter scutum et simulacrum deae, latebant, ut est in templo Vrbis Romae.*

βάθρον] In traditionibus quaestorum Mineruae 45 primum a. fere 370 recensetur κρανίδιον μι[κρὸν ἀπὸ τοῦ βάθρου] παρειὰς χρυσ[ᾶς ἔχον καὶ] λόφον ἐλεφ[άντινον] (CIA. II, 676, 40), paullo post κ[ρ]α[ν]ί[δ]ιον μικρὸν [ἐπίχρυ]σον ἀπὸ τοῦ βάθρου παρειὰς οὐκ ἔχον· πρὸς τ[ῶι τοίχ]ωι τ[ο]ῦτο πρόσκειται (II, 701 (a. 344/3), II, 60. 703 (a. 341/0), 10). praeterea a. 398/7 commemoratur χρυσίον τὸ ἀπὸ τοῦ βάθρου τοῦ ἀγάλματος (AE 18). ‖ βάθρον ἐντελές CIA. II, 719 (321/0), 6. cf. AE 17. ‖ PLINIVS *36*, 19 (ad u. 41) *in basi quod caelatum est* (*Pandoras genesin appellant*) *dii adsunt nascenti XX numero.* (cf. tab. XIII.) ‖ THEMISTIVS or. 25 p. 309 D. ἀλλ' εἰ καὶ σφόδρα ἦν σοφὸς ὁ Φειδίας ἐν χρυσῷ καὶ ἐλέφαντι μορφὴν ἐπι-

Ἐνταῦθα εἰκόνα ἰδὼν οἶδα Ἀδριανοῦ βασιλέως μόνου, καὶ κατὰ τὴν ἔσοδον Ἰφικρά- (24)
τους, ἀποδειξαμένου πολλά τε καὶ θαυμαστὰ ἔργα.

Τοῦ ναοῦ δέ ἐστι πέραν Ἀπόλλων χαλκοῦς, καὶ τὸ ἄγαλμα λέγουσι Φειδίαν ποιῆσαι· 8
Παρνόπιον δὲ καλοῦσιν, ὅτι σφίσι παρνόπων βλαπτόντων τὴν γῆν ἀποτρέψειν ὁ θεὸς εἶπεν ἐκ τῆς χώρας. καὶ ὅτι μὲν ἀπέτρεψεν ἴσασι, τρόπῳ δὲ οὐ λέγουσι ποίῳ. τρὶς δὲ αὐτὸς ἤδη πάρνοπας ἐκ Σιπύλου τοῦ ὄρους οὐ κατὰ ταὐτὰ οἶδα φθαρέντας, ἀλλὰ τοὺς μὲν ἐξέωσε βίαιος ἐμπεσὼν ἄνεμος, τοὺς δὲ ὕσαντος τοῦ θεοῦ καῦμα ἰσχυρὸν καθεῖλεν ἐπιλαβόν, οἱ δὲ αἰφνιδίῳ ῥίγει καταληφθέντες ἀπώλοντο. τοιαῦτα μὲν αὐτοῖς συμβαίνοντα εἶδον.

Ἔστι δὲ ἐν τῇ Ἀθηναίων ἀκροπόλει καὶ Περικλῆς ὁ Ξανθίππου καὶ αὐτὸς Ξάνθιππος, 25
ὃς ἐναυμάχησεν ἐπὶ Μυκάλῃ Μήδοις· ἀλλ' ὁ μὲν Περικλέους ἀνδριὰς ἑτέρωθι ἀνάκειται, τοῦ δὲ Ξανθίππου πλησίον ἕστηκεν Ἀνακρέων ὁ Τήιος, πρῶτος μετὰ Σαπφὼ τὴν Λεσβίαν τὰ πολλὰ ὧν ἔγραψεν ἐρωτικὰ ποιήσας· καί οἱ τὸ σχῆμά ἐστιν οἷον ᾄδοντος ἂν ἐν μέθῃ γένοιτο ἀνθρώπου.

51 ἀποστρέψειν et 52 ἀπέστρεψεν libri nonnulli | 54 ῥεῦμα Iahn | 55 αὐτὸς Wieseler (1885) p. 331. || 2 ἀλλ' — ἀνάκειται seclusit Iahn, ab ipso Pausania in margine addita putat Schubart in uersione Germanica; at cf. *2*, 10, 1. *3*, 26, 4 λίθου δέ ἐστιν Ἀσκληπιοῦ τε ἄγαλμα καὶ Ἰνοῦς (Ἰασοῦς?) ἑτέρωθι

δείξασθαι θείαν ἢ ἀνθρωπίνην, ὅμως χρόνου γε ἐδεῖτο καὶ σχολῆς πλείονος εἰς τὰ ἔργα. λέγεται οὖν, ἡνίκα ἐδημιούργει τὴν Ἀθηνᾶν, οὐδὲ εἰς τὴν κρηπῖδα τῆς θεοῦ μόνην ὀλίγου χρόνου καὶ πόνου προσδεηθῆναι. || CIA. II, 654*b*, 6. 660 (a. 390/89), 52. 661, 22 in Hecatompedo seruantur εἱλικτῆρες, δακτυλίω χρυσὼ δύο, διάλιθον, χρυσᾶ· ταῦτα ἐπὶ τοῦ βάθρου, ἄστατα.

45* Ἡσίοδος] opp. 60 seq. theog. 570 seq. 590.

47 ultima fata statuae] ZOSIMVS *4*, 18 (AA 241) Νεστόριος ἐν ἐκείνοις τοῖς χρόνοις (a. 375) ἱεροφαντεῖν τεταγμένος . . . εἰκόνα τοῦ ἥρωος (Achillis) ἔν οἴκῳ μικρῷ δημιουργήσας ὑπέθηκε τῷ ἐν Παρθενῶνι καθιδρυμένῳ τῆς Ἀθηνᾶς ἀγάλματι, τελῶν δὲ τῇ θεῷ τὰ συνήθη κατὰ ταὐτὸν καὶ τῷ ἥρωι τὰ ἐγνωσμένα οἱ κατὰ θεσμὸν ἔπραττε. || MARINVS u. Procli (qui degit Athenis ab anno fere 430 ad annum 485) 30 (AA 247) ὅπως αὐτὸς (Proclus) καὶ αὐτῇ τῇ φιλοσόφῳ θεῷ προσφιλὴς ἐγένετο . . . καὶ αὐτὴ ἡ θεὸς ἐδήλωσεν, ἡνίκα τὸ ἄγαλμα αὐτῆς τὸ ἐν Παρθενῶνι τέως ἱδρυμένον ὑπὸ τῶν καὶ τὰ ἀκίνητα κινούντων μετεφέρετο. ἐδόκει γὰρ τῷ φιλοσόφῳ ὄναρ φοιτᾶν παρ' αὐτὸν εὐσχήμων τις γυνὴ καὶ ἀπαγγέλλειν ὡς χρὴ τάχιστα τὴν οἰκίαν (cf. ad c. 21, 23) προπαρασκευάζειν· "ἡ γὰρ κυρία Ἀθηναΐς" ἔφη "παρά σοι μένειν ἐθέλει". || Cf. PASSIO S. PHILIPPI EPISC. HERACL. c. 5 *arsit et armata Minerua, nihil illam Gorgoneum pectus nec defendit ille picturatus splendor armorum, melius infelix si pensa tractasset.*

47* γραφαί] PAVSANIAS *1*, 1, 2 φαίνονται οἱ παῖδες οἱ Θεμιστοκλέους κατελθόντες καὶ γραφὴν ἐς τὸν Παρθενῶνα ἀναθέντες, ἐν ᾗ Θεμιστοκλῆς ἐστὶ γεγραμμένος. || IDEM *1*, 37, 1 μετὰ δὲ τοῦ Κηφισοδώρου τὸ μνῆμα τέθαπται μὲν Ἡλιόδωρος Ἅλις (Ἁλαιεύς Amasaeus)· τούτου γραφὴν ἰδεῖν ἔστι καὶ ἐν τῷ ναῷ τῷ μεγάλῳ τῆς Ἀθηνᾶς.

Ἰφικράτης] DEMOSTHENES *23*, 130 χαλκῆς 48
εἰκόνος οὔσης παρ' ὑμῖν Ἰφικράτει. || AESCHINES *3*, 243 πυθοῦ παρ' αὐτῶν, διὰ τί τὰς δωρεὰς αὐτοῖς ἔδοσαν καὶ τὰς εἰκόνας ἔστησαν. ἅπαντες γὰρ ἅμα σοι ἀποκρινοῦνται ὅτι . . . Ἰφικράτει δὲ ὅτι μόραν Λακεδαιμονίων ἀπέκτεινε (a. 392). || DIONYSIVS HALIC. de Lysia 12 πολλοὺς ἤδη τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων . . εὗρον οὐκ ὄντας Λυσίου. ὧν ἐστὶ καὶ ὁ περὶ τῆς Ἰφικράτους εἰκόνος (aduersus Harmodium) . . . . μετὰ γὰρ Ἀλκισθένην ἄρχοντα (Ol. 102, 1 = 372/1), ἐφ' οὗ τὴν εἰρήνην Ἀθηναῖοί τε καὶ Λακεδαιμόνιοι καὶ βασιλεὺς ὤμοσαν, ἀποδοὺς τὰ στρατεύματα Ἰφικράτης ἰδιώτης γίνεται, καὶ τὸ περὶ τῆς εἰκόνος ἦν τότε, ἔτεσιν ἑπτὰ πρότερον τῆς γραφῆς τετελευτηκότος Λυσίου, πρὸ τοῦ συντάξασθαι τοῦτον τὸν ἀγῶνα Ἰφικράτη. | ARISTOTELES rhet. *2*, 23 Ἰφικράτης ἐν τῇ πρὸς Ἁρμόδιον ὅτι "εἰ πρὶν ποιῆσαι ἠξίουν τῆς εἰκόνος τυχεῖν ἐὰν ποιήσω, ἔδοτε ἄν· ποιήσαντι δ' ἄρ' οὐ δώσετε;" κ. τ. λ.

πάρνοπες] Cf. HESYCHIVS καταχήνη· . . . 51
ὑπὸ Πεισιστράτου καλαμαίᾳ ἐμφερὲς ζῷον ἀπὸ τῆς ἀκροπόλεως προβεβλημένον, ὁποῖα τὰ πρὸς βασκανίαν. || Cf. ad c. 21, 13.

ἑτέρωθι] Cf. c. 28, 10. 2

Ἀνακρέων] Cf. LEONIDAS TARENTINVS an- 3
thol. Pal. app. Plan. 306 Πρέσβυν Ἀνακρείοντα χύδαν σεσαλαγμένον οἴνῳ Θάεο δινωτοῦ † στρεπτὸν (στεπτὸν Heyne γραπτὸν Meineke) ὕπερθε λίθου, Ὡς ὁ γέρων λίχνοισιν ὑπ' ὄμμασιν ὑγρὰ δεδορκὼς Ἄχρι καὶ ἀστραγάλων ἕλκεται ἀμπεχόναν· 5 Δισσῶν δ' ἀρβυλίδων τὰν μὲν μίαν οἷα μεθυπλὴξ Ὤλεσεν, ἐν δ' ἑτέρᾳ ῥικνὸν ἄραρε πόδα. Μέλπει δ' ἠὲ Βάθυλλον ἐφίμερον

(25) Γυναῖκας δὲ πλησίον Δεινομένης Ἰὼ τὴν Ἰνάχου καὶ Καλλιστὼ τὴν Λυκάονος πεποίηκεν, αἷς ἀμφοτέραις ἐστὶν ἐς ἅπαν ὅμοια διηγήματα, ἔρως Διὸς καὶ Ἥρας ὀργή, καὶ ἀλλαγὴ τῇ μὲν ἐς βοῦν, Καλλιστοῖ δὲ ἐς ἄρκτον.

2 Πρὸς δὲ τῷ τείχει τῷ νοτίῳ Γιγάντων οἳ περὶ Θρᾴκην ποτὲ καὶ τὸν ἰσθμὸν τῆς Παλλήνης ᾤκησαν, τούτων τὸν λεγόμενον πόλεμον, καὶ μάχην πρὸς Ἀμαζόνας Ἀθηναίων, καὶ τὸ Μαραθῶνι πρὸς Μήδους ἔργον, καὶ Γαλατῶν τὴν ἐν Μυσίᾳ φθορὰν ἀνέθηκεν Ἄτταλος, ὅσον τε δύο πηχῶν ἕκαστον.

Ἕστηκε δὲ καὶ Ὀλυμπιόδωρος, μεγέθει τε ὧν ἔπραξε λαβὼν δόξαν καὶ οὐχ ἥκιστα τῷ καιρῷ, φρόνημα ἐν ἀνθρώποις παρασχόμενος συνεχῶς ἐπταικόσι καὶ δι' αὐτὸ οὐδὲ ἓν χρηστὸν
3 οὐδὲ ἐς τὰ μέλλοντα ἐλπίζουσι. τὸ γὰρ ἀτύχημα τὸ ἐν Χαιρωνείᾳ ἅπασι τοῖς Ἕλλησιν ἦρξε κακοῦ καὶ οὐχ ἥκιστα δούλους ἐποίησε τοὺς ὑπεριδόντας καὶ ὅσοι μετὰ Μακεδόνων ἐτάχθησαν. τὰς μὲν δὴ πολλὰς Φίλιππος τῶν πόλεων εἷλεν, Ἀθηναίοις δὲ λόγῳ συνθέμενος ἔργῳ σφᾶς μάλιστα ἐκάκωσε, νήσους τε ἀφελόμενος καὶ τῆς ἐς τὰ ναυτικὰ παύσας ἀρχῆς. καὶ χρόνον μέν τινα ἡσύχασαν Ἀθηναῖοι Φιλίππου βασιλεύοντος καὶ ὕστερον Ἀλεξάνδρου· τελευτήσαντος δὲ Ἀλεξάνδρου Μακεδόνες μὲν βασιλεύειν εἵλοντο Ἀριδαῖον, Ἀντιπάτρῳ δὲ ἐπετέτραπτο ἡ πᾶσα ἀρχή, καὶ Ἀθηναίοις οὐκέτι ἀνεκτὰ ἐφαίνετο εἰ τὸν πάντα χρόνον ἔσται ἐπὶ Μακεδόσι τὸ Ἑλληνικόν, ἀλλ' αὐτοί
4 τε πολεμεῖν ὥρμηντο καὶ ἄλλους ἐς τὸ ἔργον ἤγειρον. ἐγένοντο δὲ αἱ μετασχοῦσαι πόλεις Πελοποννησίων μὲν Ἄργος, Ἐπίδαυρος, Σικυών, Τροιζήν, Ἠλεῖοι, Φλιάσιοι, Μεσσήνη, οἱ δὲ ἔξω τοῦ Κορινθίων ἰσθμοῦ Λοκροί, Φωκεῖς, Θεσσαλοί, Κάρυστος, Ἀκαρνᾶνες ἐς τὸ Αἰτωλικὸν συντελοῦντες. Βοιωτοὶ δὲ Θηβαίων ἠρημωμένην τὴν γῆν τὴν Θηβαΐδα νεμόμενοι δέει μὴ Θήβας αὖθις Ἀθηναῖοί σφισιν ἐποικίζωσιν οὔτε ἐς τὴν συμμαχίαν ἐτάσσοντο καὶ ἐς ὅσον ἧκον δυνάμεως τὰ Μακεδόνων

9 τοῦτον codices aliquot | 10 ὅσον τε Porson: ὅσον γε codices | δύο] q' EPetersen *Roem. Mitth.* 1895 p. 127 n. 3; at cf. Schubart *Zeitschr. f. Alt.-Wiss.* 1856 p. 102 seqq. | 13 τῷ καιρῷ Bekker: τῶν καιρῶν codices. ἐν καιρῷ φρόνημα ἀνθρώποις Brause obseruatt. crit. de quibusd. loc. Paus. p. 4 | 15 προδόντας Cobet Mnemos. n. s. XII p. 56 | κατὰ Lb Perizonius ad Aelian. uar. hist. *6*, 1 | 24 Θηβῶν Amasaeus | ἠρημωμένην Schubart: ἠρημωμένων codices

ἠὲ Μεγιστέα, Αἰωρῶν παλάμᾳ τὰν δυσέρωτα χέλυν. Ἀλλά, πάτερ Διόνυσε, φύλασσέ μιν· οὐ γὰρ ἔοικεν Ἐκ Βάκχου πίπτειν Βακχιακὸν θέραπα. | IDEM ibid. 307 Ἴδ' ὡς ὁ πρέσβυς ἐκ μέθης Ἀνακρέων Ὑπεσκέλισται καὶ τὸ λῶπος ἕλκεται Ἐσάχρι γυίων· τῶν δὲ βλαυτίων τὸ μὲν Ὅμως φυλάσσει, θάτερον δ' ἀπώλεσεν. Μελίσδεται δὲ τὰν χέλυν διακρέκων Ἤτοι Βάθυλλον ἢ καλὸν Μεγιστέα. Φύλασσε, Βάκχε, τὸν γέροντα μὴ πέσῃ. | EVGENES ibid. 308 Τὸν τοῖς μελιχροῖς Ἱμέροισι σύντροφον, Λυαῖ', Ἀνακρείοντα Τήιον κύκνον Ἔσφηλας ὑγρῇ νέκταρος μεληδόνι. Λοξὸν γὰρ αὐτοῦ βλέμμα καὶ περὶ σφυροῖς Ῥιφθεῖσα λώπευς πέζα καὶ μονοζυγὲς Μέθην ἐλέγχει σάνδαλον· χέλυς δ' ὅμως Τὸν εἰς Ἔρωτας ὕμνον ἀθροΐζεται. Ἀπτῶτα τήρει τὸν γεραιόν, Εὔιε.

5 Δεινομένης] CIA. II, 1648 (primi a. Chr. saec.) basis m. Eleusinii in arce reperta: Μετρότιμος ἀνέθηκεν Ὀῆθεν, | Δεινομένης ἐποίησεν.

5* Ἰώ] Cf. TATIANVS or. ad Graecos 33 Βησαντίδα τὴν Παιόνων βασίλισσαν, ὅτι παιδίον μέλαν ἐκύησεν, Δεινομένης διὰ τῆς ἑαυτοῦ τέχνης μνημονεύεσθαι παρεσκεύασεν.

8 Γιγάντων] PLVTARCHVS Anton. 60 (AA 222) καὶ τῆς Ἀθήνησι γιγαντομαχίας ὑπὸ πνευμάτων ὁ Διόνυσος ἐκσεισθεὶς εἰς τὸ θέατρον κατηνέχθη· προσῳκείου δὲ ἑαυτὸν Ἀντώνιος . . Διονύσῳ κατὰ τὸν τοῦ βίου ζῆλον, ὥσπερ εἴρηται, Διόνυσος νέος προσαγορευόμενος. ἡ δὲ αὐτὴ θύελλα καὶ τοὺς Εὐμένους καὶ Ἀττάλου κολοσσοὺς ἐπιγεγραμμένους Ἀντωνείους Ἀθήνησιν ἐμπεσοῦσα μόνους ἐκ πολλῶν ἀνέτρεψε. || Cf. DIO CASSIVS *50*, 15 (AA 220) τὰς εἰκόνας αὐτῶν (Antonii et Cleopatrae), ἃς οἱ Ἀθηναῖοι ἐν τῇ ἀκροπόλει τὸ τῶν θεῶν σχῆμα ἐχούσας ἔστησαν, κεραυνοὶ ἐς τὸ θέατρον κατήραξαν.

Γαλατῶν] ANONYMVS ALEXANDRINVS expos. totius mundi 52 (Geogr. M. II p. 524) *Athenas uero et historias antiquas* (habentes) *et aliquid dignum nominatu, arcem, ubi multis statuis stantibus mirabile est uidere dicendum antiquorum* (παλαιῶν in archetypo Graeco corruptum fuisse uidetur uel e Γαλατῶν uel e Γιγάντων) *bellum*. 10

Ἄτταλος] POLYBIVS *16*, 26 (AA 210) ἀνάμνησις τῶν πρότερον (ante a. 200) ἐξ αὐτοῦ (Ἀττάλου) γεγονότων εὐεργετημάτων εἰς τὸν δῆμον. || TITVLVS saec. p. Chr. II (AA 211) [τὰ ἀγάλ]ματα uel [τὰ ἀναθή]ματα (?) τὰ ἀνατεθέντα ὑπ' Ἀτ[τάλου βα]σιλέως. 10*

ηὗξον. τοὺς δὲ ἐς τὸ συμμαχικὸν ταχθέντας κατὰ πόλεις τε ἑκάστους ἦγον στρατηγοί, καὶ τοῦ παντὸς 5 (25)
ἄρχειν ᾕρητο Ἀθηναῖος Λεωσθένης, πόλεώς τε ἀξιώματι καὶ αὐτὸς εἶναι δοκῶν πολέμων ἔμπειρος.
ὑπῆρχε δέ οἱ καὶ πρὸς πάντας εὐεργεσία τοὺς Ἕλληνας· ὁπόσοι γὰρ μισθοῦ παρὰ Δαρείῳ καὶ
σατράπαις ἐστρατεύοντο Ἕλληνες, ἀνοικίσαι σφᾶς ἐς τὴν Περσίδα θελήσαντος Ἀλεξάνδρου Λεω-
σθένης ἔφθη κομίσας ναυσὶν ἐς τὴν Εὐρώπην. καὶ δὴ καὶ τότε ὧν ἐς αὐτὸν ἤλπισαν ἔργα λαμ-
πρότερα ἐπιδειξάμενος παρέσχεν ἀποθανὼν ἀθυμῆσαι πᾶσι καὶ δι' αὐτὸ οὐχ ἥκιστα σφαλῆναι·
φρουρά τε Μακεδόνων ἐσῆλθεν Ἀθηναίοις, οἳ Μουνυχίαν, ὕστερον δὲ καὶ Πειραιᾶ καὶ τείχη μακρὰ
ἔσχον. Ἀντιπάτρου δὲ ἀποθανόντος Ὀλυμπιὰς διαβᾶσα ἐξ Ἠπείρου χρόνον μέν τινα ἦρξεν ἀπο- 6
κτείνασα Ἀριδαῖον, οὐ πολλῷ δὲ ὕστερον ἐκπολιορκηθεῖσα ὑπὸ Κασσάνδρου παρεδόθη τῷ πλήθει.
Κάσσανδρος δὲ βασιλεύσας (τὰ δὲ ἐς Ἀθηναίους ἐπέξεισί μοι μόνα ὁ λόγος) Πάνακτον τεῖχος ἐν
τῇ Ἀττικῇ καὶ Σαλαμῖνα εἷλε, τύραννόν τε Ἀθηναίοις ἔπραξε γενέσθαι Δημήτριον τὸν Φανοστρά-
του, [τὰ πρὸς] δόξαν εἰληφότα ἐπὶ σοφίᾳ. τοῦτον μὲν δὴ τυραννίδος ἔπαυσε Δημήτριος ὁ
Ἀντιγόνου, νέος τε ὢν καὶ φιλοτίμως πρὸς τὸ Ἑλληνικὸν διακείμενος· Κάσσανδρος δέ (δεινὸν γάρ 7
τι ὑπῆν οἱ μῖσος ἐς τοὺς Ἀθηναίους), ὃ δὲ αὖθις Λαχάρην προεστηκότα ἐς ἐκεῖνο τοῦ δήμου,
τοῦτον τὸν ἄνδρα οἰκειωσάμενος τυραννίδα ἔπεισε βουλεῦσαι, τυράννων ὧν ἴσμεν τά τε ἐς ἀν-
θρώπους μάλιστα ἀνήμερον καὶ ἐς τὸ θεῖον ἀφειδέστατον. Δημητρίῳ δὲ τῷ Ἀντιγόνου διαφορὰ
μὲν ἦν ἐς τὸν δῆμον ἤδη τὸν Ἀθηναίων, καθεῖλε δ' ὅμως καὶ τὴν Λαχάρους τυραννίδα. ἁλισκομένου
δὲ τοῦ τείχους ἐκδιδράσκει Λαχάρης ἐς Βοιωτούς. ἅτε δὲ ἀσπίδας ἐξ ἀκροπόλεως καθελὼν χρυσᾶς
καὶ αὐτὸ τῆς Ἀθηνᾶς τὸ ἄγαλμα τὸν περιαιρετὸν ἀποδύσας κόσμον ὑπωπτεύετο εὐπορεῖν μεγάλως
χρημάτων. Λαχάρην μὲν οὖν τούτων ἕνεκα κτείνουσιν ἄνδρες Κορωναῖοι, Δημήτριος δὲ ὁ Ἀντι-
γόνου τυράννων ἐλευθερώσας Ἀθηναίους τό τε παραυτίκα μετὰ τὴν Λαχάρους φυγὴν οὐκ ἀπέδωκέ
σφισι τὸν Πειραιᾶ καὶ ὕστερον πολέμῳ κρατήσας ἐσήγαγεν ἐς αὐτὸ φρουρὰν τὸ ἄστυ, τὸ Μου-
σεῖον καλούμενον τειχίσας. ἔστι δὲ ἐντὸς τοῦ περιβόλου τοῦ ἀρχαίου τὸ Μουσεῖον ἀπαντικρὺ
τῆς ἀκροπόλεως λόφος, ἔνθα Μουσαῖον ᾄδειν καὶ ἀποθανόντα γήρᾳ ταφῆναι λέγουσιν· ὕστερον δὲ
καὶ μνῆμα αὐτόθι ἀνδρὶ ᾠκοδομήθη Σύρῳ. τότε δὲ Δημήτριος τειχίσας εἶχε· χρόνῳ δὲ ὕστερον 26
ἄνδρας ἐσῆλθεν οὐ πολλοὺς [καὶ] μνήμη τε προγόνων καὶ ἐς οἵαν μεταβολὴν τὸ ἀξίωμα ἥκοι τῶν
Ἀθηναίων, αὐτίκα τε ὡς εἶχον αἱροῦνται στρατηγὸν Ὀλυμπιόδωρον. ὁ δὲ σφᾶς ἐπὶ τοὺς Μακε-
δόνας ἦγε καὶ γέροντας καὶ μειράκια ὁμοίως, προθυμίᾳ πλέον ἢ ῥώμῃ κατορθοῦσθαι τὰ ἐς πόλεμον
ἐλπίζων· ἐπεξελθόντας δὲ τοὺς Μακεδόνας μάχῃ τε ἐκράτησε καὶ φυγόντων ἐς τὸ Μουσεῖον τὸ
χωρίον εἷλεν. Ἀθῆναι μὲν οὕτως ἀπὸ Μακεδόνων ἠλευθερώθησαν· Ἀθηναίων δὲ πάντων 2

27 Λεωσθένης Ἀθηναῖος pauci codices deteriores | 30 τὰ ἔργα codices aliquot | 31 ἀποδειξάμενος Schubart | 32 μουνιχίαν Pd | 37 τὰ πρὸς del. Hitzig: τὰ πρὸς codices plerique τὰ πατρὸς pauci τὰ πρὸς πατρὸς unus Lb τὰ πρόσθεν Clauerius | 39 τοὺς om. deteriores | 41 διαφορὰ Sylburg: διάφορα codices | 42 τὸν RSchoell: τῶν codices | 44 μεγάλων Clauerius || 2 καὶ del. Dindorf | 3 Ἀθηνῶν Bekker

36 Δημήτριος] DIOGENES LAERTIVS 5, 77 κατασπάσαντες αὐτοῦ (Demetrii Phalerei) τὰς εἰκόνας . . ., μία δὲ μόνη σῴζεται ἐν ἀκροπόλει.

43 ἀσπίδες χρυσαῖ] Inter res sacras post Euclidis annum non commemorantur clipei aurei, cum antea in Parthenonem inlatae fuissent a. 434/3 ἀσπίδες ἐπίχρυσοι ὑπόξυλοι ΔΙΙΙ, a. 433/2 duae eiusdem generis, a. 428/7 ut uidetur ἀσπὶς ἐγ Λέσβου ἐπίσημος χρυσῆ (CIA. I p. 73 seqq.). || Cf. ARRIANVS anab. *1*, 16, 7 (AA 186) Alexander post pugnam ad Granicum commissam misit τριακοσίας πανοπλίας Περσικὰς ἀνάθημα εἶναι τῇ Ἀθηνᾷ ἐν πόλει . . . | PLVTARCHVS Alex. 16 (ibid.) τριακοσίας ἀσπίδας.

44 περιαιρετὸς κόσμος] POETA COMICVS apud Athenaeum *9* p. 405f Γυμνὴν ἐποίησε τὴν Ἀθηνᾶν Λαχάρης Οὐδὲν ἐνοχλοῦσαν. | PLVTARCHVS de Is. et Osir. 71 Ἑλλήνων οἱ τὰ χαλκᾶ καὶ τὰ γραπτὰ καὶ λίθινα μὴ μαθόντες μηδ' ἐθισθέντες ἀγάλματα καὶ τιμὰς θεῶν ἀλλὰ θεοὺς καλεῖν, εἶτα τολμῶντες λέγειν ὅτι τὴν Ἀθηνᾶν Λαχάρης ἐξέδυσε . . .

ἀνὴρ Σύρος] CIA. III, 557 = CIL. III, 552 50
tituli monumenti quod hodieque in colle Musarum extat, *a* a laeua statuae mediae *C. Iulius C. f.* | *Fab. Antio|chus Philo|pappus, cos.*, |*frater ar|ualis, alle|ctus inter* | *prae-tori|os ab Imp.* | *Caesare* | *Nerua Traia|no optu|mo Augus|to Germa|nico Da|cico* (a. 114—116). || *b* a dextera eiusdem statuae βασιλεὺς | Ἀντίοχ|ος Φιλό|παππος | βασιλέ|ως Ἐπι|φάνους | τοῦ Ἀν|τιόχου. || *c* sub statua regis sedentis spectanti a laeua βασιλεὺς Ἀντίοχος βασιλέως Ἀντιόχου. || *d* sub statua media Φιλόπαππος Ἐπιφάνους Βησαιεύς. || *e* sub statua ad dexteram βασιλεὺς Σέλευκος Ἀντιόχου Νικάτωρ.

(26) ἀγωνισαμένων ἀξίως λόγου Λεώκριτος μάλιστα ὁ Πρωτάρχου λέγεται τόλμῃ χρήσασθαι πρὸς τὸ
ἔργον. πρῶτος μὲν γὰρ ἐπὶ τὸ τεῖχος ἀνέβη, πρῶτος δὲ ἐς τὸ Μουσεῖον ἐσήλατο· καί οἱ
πεσόντι ἐν τῇ μάχῃ τιμαὶ παρ' Ἀθηναίων καὶ ἄλλαι γεγόνασι καὶ τὴν ἀσπίδα ἀνέθεσαν τῷ Διὶ
3 τῷ Ἐλευθερίῳ, τὸ ὄνομα τοῦ Λεωκρίτου καὶ τὸ κατόρθωμα ἐπιγράψαντες. Ὀλυμπιοδώρῳ δὲ
τόδε μέν ἐστιν ἔργον μέγιστον χωρὶς τούτων ὧν ἔπραξε Πειραιᾶ καὶ Μουνυχίαν ἀνασωσάμενος·
ποιουμένων δὲ Μακεδόνων καταδρομὴν ἐς Ἐλευσῖνα, Ἐλευσινίους συντάξας ἐνίκα τοὺς Μακεδόνας.
πρότερον δὲ ἔτι τούτων ἐσβαλόντος ἐς τὴν Ἀττικὴν Κασσάνδρου πλεύσας Ὀλυμπιόδωρος ἐς τὴν
Αἰτωλίαν βοηθεῖν Αἰτωλοὺς ἔπεισε, καὶ τὸ συμμαχικὸν τοῦτο ἐγένετο Ἀθηναίοις αἴτιον μάλιστα
διαφυγεῖν τὸν Κασσάνδρου πόλεμον. Ὀλυμπιοδώρῳ δὲ τοῦτο μὲν ἐν Ἀθήναις εἰσὶν ἔν τε ἀκρο-
πόλει καὶ ἐν πρυτανείῳ τιμαί, τοῦτο δὲ ἐν Ἐλευσῖνι γραφή· καὶ Φωκέων οἱ Ἐλάτειαν ἔχοντες
χαλκοῦν Ὀλυμπιόδωρον ἐν Δελφοῖς ἀνέθεσαν, ὅτι καὶ τούτοις ἤμυνεν ἀποστᾶσι Κασσάνδρου.

4 Τῆς δὲ εἰκόνος πλησίον τῆς Ὀλυμπιοδώρου χαλκοῦν Ἀρτέμιδος ἄγαλμα ἕστηκεν ἐπίκλησιν Λευκοφρυηνῆς, ἀνέθεσαν δὲ οἱ παῖδες οἱ Θεμιστοκλέους· Μάγνητες γάρ, ὧν ἦρχε Θεμιστοκλῆς λαβὼν παρὰ βασιλέως, Λευκοφρυηνὴν Ἄρτεμιν ἄγουσιν ἐν τιμῇ.

Δεῖ δέ με ἀφικέσθαι τοῦ λόγου πρόσω, πάντα ὁμοίως ἐπεξιόντα τὰ Ἑλληνικά. Ἔνδοιος ἦν γένος μὲν Ἀθηναῖος, Δαιδάλου δὲ μαθητής, ὃς καὶ φεύγοντι Δαιδάλῳ διὰ τὸν Κάλω θάνατον ἐπηκολούθησεν ἐς Κρήτην. τούτου καθήμενόν ἐστιν Ἀθηνᾶς ἄγαλμα, ἐπίγραμμα ἔχον ὡς Καλλίας μὲν ἀναθείη, ποιήσειεν δὲ Ἔνδοιος.

19 Λευκοφρυηνῆς Dindorf: λευκοφρύνης codices | 20 Λευκοφρυηνὴν Dindorf: λευκοφρύνην codices

16 ἐν Ἐλευσῖνι γραφή] PLINIVS *35*, 134 *Athenion Maronites , . . pinxit in templo Eleusine phylarchum.* || Cf. CIA. III, 1349 (basis Eleusine reperta) [ἡ βουλὴ ὁ δῆμος μυστηρίων ἐπιμε]λητὴν γενόμενον. | [ἡ βουλὴ ὁ δῆμος] στρατηγήσα[ν]τα ἐ[πὶ] τὴν παρασκευ[ή]ν. | ἡ βουλὴ ὁ δῆμος στρατ[η]γήσαντα ἐπ' Ἐλευσ[ῖ]νος ἐπ' Ἀντιμάχου ἄ[ρ]χοντος (283/2). | οἱ ταχθέντες τῶν πολιτῶν Ἐλευσῖνι ἐπ' Ἀντιμάχου ἄρχοντος. | τῶ[ν στρα]τι[ω]τῶ[ν οἱ] ταχθέντες ἐπὶ τὴν Ἐλευσῖνι χώραν. hunc titulum ad Olympiodorum refert Wilamowitz *Antigonos* p. 247 seqq.

16* Φωκέων οἱ Ἐλάτειαν ἔχοντες] PAVSANIAS *10*, 18, 7. 34, 3.

19 Θεμιστοκλῆς, Μάγνητες] Cf. THVCYDIDES *1*, 138 μνημεῖον αὐτοῦ (Themistoclis) ἐν Μαγνησίᾳ ἐστὶ τῇ Ἀσιανῇ ἐν τῇ ἀγορᾷ· ταύτης γὰρ ἦρχε τῆς χώρας, δόντος βασιλέως αὐτῷ Μαγνησίαν κ. τ. λ.

20 ὁ βωμὸς τῆς Ἀθηνᾶς ὁ μέγας] Cf. tab. III, 20. VII, 36. || CIA. II, 163 (AE 34), 19 θυόντων ταύτας τὰς βοῦς ἁπάσας ἐπὶ τῶι βωμῶι τῆς [Ἀθηνᾶς τῶι με]γάλωι . . . καὶ θύσαντες τῆ[ι Ἀθηνᾶι τῆι Π]ολιάδι κ. τ. λ. | 29 τοῦ βωμοῦ τοῦ μεγάλου. || CIA. IV, *1*, 19 (p. 138, AE 20), 9 με[ταχσὺ τô ν]εὸ καὶ τô πρὸ[ς 'έο μεγάλ]ο β[ο]μô (supplementa Wilhelmi admodum incerta). || THVCYDIDES *1*, 126 (AA 25) καθίζουσιν ἐπὶ τὸν βωμὸν τὸν ἐν τῇ ἀκροπόλει. | HERACLIDES fr. 4 (AA 26) τὸν βωμὸν τῆς θεοῦ. || Cf. CIA. I, 321 (AE 24), 20 ἐπὶ τôι πρὸς ἕο τοίχοι τôι πρὸς τô βομô. | 324 (AE 28), *c*, I, 34 et 63 τôν κιόνον τôν πρὸς ἕο τôν κατὰ τὸν βομόν. *c*, II, 47 τôν κιόνον τôν πρὸς ἕο τôν παρὰ τὸν βομόν. || AE 2, 264 sellae in theatro Bacchico repertae inscriptum: ἱερέως πυρφόρου ἐξ ἀκροπόλεως. | CIA. III, 721 *a* (p. 502) [ἱερεὺς πυρ]φόρος ἐξ ἀκρο[πόλεως - -.

Ἐνδοίου Ἀθηνᾶ (cf. tab. XXXVII, 4)] ATHE- 23
NAGORAS leg. pro Christ. 17 ὁ χρόνος ὀλίγος τοσοῦτος ταῖς εἰκόσι καὶ τῇ περὶ τὰ εἴδωλα πραγματείᾳ ὡς ἔχειν εἰπεῖν τὸν ἑκάστου τεχνίτην θεοῦ. τὸ μὲν γὰρ ἐν Ἐφέσῳ τῆς Ἀρτέμιδος καὶ τὸ τῆς Ἀθηνᾶς — μᾶλλον δὲ Ἀθηλᾶς· ἀθήλη γὰρ ὡς οἱ μυστικώτερον † οὕτω γὰρ (θεολογοῦντες ESchwartz τοῦτο γὰρ Iahn) — τὸ ἀπὸ τῆς ἐλαίας τὸ παλαιὸν καὶ τὴν καθημένην Ἔνδοιος εἰργάσατο μαθητὴς Δαιδάλου, ὁ δὲ Πύθιος ἔργον Θεοδώρου καὶ Τηλεκλέους κ. τ. λ. || Cf. PLINIVS *16*, 213 *de simulacro ipso deae* (Ephesiae) *ambigitur. ceteri ex hebeno esse tradunt, Mucianus III cos., ex his qui proxime uiso scripsere, uitigineum et numquam mutatum septies restituto templo;* (214) *hanc materiam elegisse Endoeon* (Sillig: *eandem con* libri), *etiam nomen artificis nuncupans, quod equidem miror, cum antiquiorem Minerua quoque, non modo Libero patre uestutatem ei tribuat.*

Ἑκατόμπεδον (tab. IV. V)] CIA. IV, *1*, 19 24
(AE 20), 10 πᾶν τὸ Ἑκατόμπ[εδ]ον (an [νο]τόθεν τ[ô νε]ό?). || ibid. 17 τὰ οἰκέματ̣α [τὰ ἐν τôι Ἑκατ]ομπέδοι. | HERODOTVS *8*, 53 (AA 54) ἐς τὸ μέγαρον κατέφευγον. | IDEM *5*, 77 (AA 43) ἀντίον τοῦ μεγάρου τοῦ πρὸς ἑσπέρην τετραμμένου. || XENOPHON Hell. *1*, 6, 1 (AA 131) ὁ παλαιὸς τῆς

Ἔστι δὲ καὶ οἴκημα Ἐρέχθειον καλούμενον· πρὸ δὲ τῆς ἐσόδου Διός ἐστι βωμὸς 5(26)

Ἀθηνᾶς νεὼς ἐνεπρήσθη (406/5). || Cf. HOMERVS η 81 (AA 9) Ἐρεχθῆος πυκινὸν δόμον. AESCHYLVS Eum. 855 δόμοι Ἐρεχθέως.

25 τὸ ἱερόν] THVC. *1*, 126 (AA 25) ἀποθνήσκοντας ἐν τῷ ἱερῷ. | HEROD. *5*, 72 (AA 40) μὴ ἔσιθι ἐς τὸ ἱρόν (i. q. τὸ ἄδυτον τῆς θεοῦ). 90 ἔλιπον ἐν τῷ ἱρῷ (τοὺς χρησμούς). | *8*, 41 (AA 51) ἐν τῷ ἱρῷ (ὄφις, cf. EVST. ad Hom. α 356 ἐν τῷ νεῷ τῆς Πολιάδος. HES. οἰκουρὸν ὄφιν·.. ἐν τῷ ἱερῷ τοῦ Ἐρεχθέως). | *8*, 51 (AA 54) ἐν τῷ ἱρῷ ἐόντας . . . ταμίας τοῦ ἱροῦ. 53 τὸ ἱρὸν συλήσαντες. 54 (AA 56) ἐμπρήσαντι τὸ ἱρόν. 55 ἅμα τῷ ἄλλῳ ἱρῷ (ἐλαίη, ἐν Ἐρεχθέος νηῷ, cf. DIONYS. HAL. *14*, 2 ἐν Ἐρεχθέως τῷ σηκῷ. PLVT. Them. 10 ἐκ τοῦ σηκοῦ) . . . ἀνέβησαν ἐς τὸ ἱρόν. || HES. Αἰδοῦς βωμός·.. πρὸς τῷ ἱερῷ (cf. EVST. ad Hom. X 451 περὶ τὸν τῆς Πολιάδος Ἀθηνᾶς νεών). || STRAB. *9* p. 396 τὸ τῆς Ἀθηνᾶς ἱερόν. | DEM. *36*, 15 εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἐλθὼν δικάζεται. | [59], 46 συνελθόντες οὗτοι (οἱ διαιτηταί, cf. AE 32, n. 11) ἐν τῷ ἱερῷ . . γνώμην ἀπεφήναντο. | ISOCR. *17*, 17 ἐδεῖτό μου εἰς ἱερὸν ἐλθόνθ' ἑαυτῷ συγγενέσθαι. καὶ ἐπειδὴ ἤλθομεν εἰς ἀκρόπολιν κ. τ. λ. (cf. ANTIPH. *6*, 39 διηλλάγην τούτοις ἐν τῇ πόλει ἐναντίον μαρτύρων, οἵπερ διήλαττον ἡμᾶς πρὸς τῷ νεῷ τῆς Ἀθηνᾶς.) || PLVT. Them. 10 (AA 52) ὁ σηκός. | DION. HAL. *14*, 2 Ἐρεχθέως ὁ σηκός. || APOLLOD. *3*, 190 (14, 6, 6) ἐν τῷ τεμένει τραφεὶς Ἐριχθόνιος ὑπ' αὐτῆς Ἀθηνᾶς. | 191 (7) Ἐριχθονίου ταφέντος ἐν τῷ αὐτῷ τεμένει τῆς Ἀθηνᾶς. | ARNOB. adu. natt. *6*, 6 *Erichthonius Poliadis in fano* (conditus).

25* θεοὶ σύνναοι] HOMERVS B 547 Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' Ἀθήνη Θρέψε Διὸς θυγάτηρ (τέκε δὲ ζείδωρος ἄρουρα), Κὰδ δ' ἐν Ἀθήνῃς εἷσεν ἑῷ ἐνὶ πίονι νηῷ. | IGSI. 1389, II, 30 Καὶ γὰρ Ἀθηναίη ⟨πο⟩τε Ἐριχθόνιον βασιλῆα Νηῷι ἐνκατέθηκε συνέστιον ἔμμεναι ἱρῶν. || PLVTARCHVS sympos. quaestt. *9*, 6 ἐνταῦθα (Athenis) καὶ νεὼ κοινωνεῖ (Ποσειδῶν) μετὰ τῆς Ἀθηνᾶς. || HIMERIVS ecl. 5, 30 ὁ τῆς Πολιάδος νεὼς καὶ τὸ πλησίον τοῦ (RSchoell: τὸ ug.) Ποσειδῶνος τέμενος. || Cf. VITRVVIVS *4*, 8, 4 (ad u. 25***) *aedi Palladis Mineruae . . . omnia quae solent esse in frontibus ad latera sunt translata* (scilicet duae τοῦ Ἐρεχθείου porticus). | HERODOTVS *8*, 55 (ad u. 25***). | APOLLODORVS *3*, 196 (15, 1) τὴν ἱερωσύνην τῆς Ἀθηνᾶς καὶ τοῦ Ποσειδῶνος τοῦ Ἐρεχθέως Βούτης (λαμβάνει). | *5*, 82 (ad u. 27) τῇ Ἀθηναίῃ τε τῇ Πολιάδι ἱερὰ καὶ τῷ Ἐρεχθέϊ. || NONNVS *33*, 123 Ἀμφιγυήεις (cf. u. 28) Κεκροπίου λύχνου (Poliadis, u. 37) φεραυγέα δαλὸν ἀνάψας.

ἀρχαῖος νεώς] SCHOL. ARISTOPH. Lys. 273 25** (AA 42, e CRATERO) στήλην χαλκῆν ἔστησαν ἐν πόλει παρὰ τὸν ἀρχαῖον νεών (a. 506). || CIA. I, 93, 6 [ὄπισ]θεν (? βορρᾶθεν uulgo) τô νεὸ τô ἀρχ[αίο]. || CIA. IV, *1*, 1, C, 25 (p. 1, coll. Dittenbergero[2] 646) [τ]ô δὲ ἱερô ἀργυρί[ο (dearum Eleusiniarum) τὸ μὲν ἐκ τôν | θ]εσ[αυρôν γενόμ]εν[ον ταμιεύ|ε]σθαι [ἐν περιβ]όλο[ι τôι ὄπισ|θ]εν (Doerpfeld *Athen. Mitth.* 1887 p. 39: νοτόθεν uulgo) τô τε̂ς Ἀθεναία[ς ἀρχαίο ν|ε]ὸ ἐμ πόλει, τ[ὸ] δὲ ἀρ[χαῖον κ. τ. λ. (titulus non recentior anno 460). || I, 322 (AE 22), 1 τô νεὸ τô ἐμ πόλει ἐν ʽôι τὸ ἀρχαῖον ἄγαλμα (a. 409/8). || II, 650, 2 [ἐκ τοῦ νεὼ (?) τοῦ] ἀρχαίου (c. a. 400). | 672, 43 [ἐν τῶι ἀ]ρχαίωι νεῶι (376/5). | 74, *a*, 14 - - τα τοῦ ἀρ[χαίου νεώ] (a. fere 367/6). | IV, *2*, 6 [ἐν τῶι ἀρχαίωι] νεῶι. | II, 758, A, II, 7 ἐκ τοῦ ἀρχαίου νεώ (a. 353/2). | 751, *B*, II, *d*, 19 [ἐκ το]ῦ ἀρχαίου νεώ (a. fere 345/4). || CIA. II, 733, A, II, 6 (AE 33) ἀρχαῖος νεώς (catalogus exeunte saeculo IV factus). || CIA, II, 464, 5 [παρὰ τὸν | [6] νεὼ τ]ὸν ἀρχαῖον τῆς Ἀθηνᾶς τ[ῆς Πολιάδος] (exeunte II uel ineunte I saeculo). || STRABO *9*, p. 396 ὁ ἀρχαῖος νεὼς ὁ τῆς Πολιάδος, ἐν ᾧ ὁ ἄσβεστος λύχνος.

ὁ νεὼς τῆς Ἀθηνᾶς τῆς Πολιάδος] CIA. 25*** IV, *1*, 19 (p. 138, AE 20), 9 [τô ν]εὸ καὶ τô προ[νείο καὶ τ]ô β[ο]μô [καὶ νο]τόθεν τ[ô νεὸ κ. τ. λ. (supplementa non prorsus certa, cf. ad u. 20). | ὁ νεώς (ναός) XEN. Hell. *2*, 3, 20 (AA 135). CIA. II, 829, 4. PLVT. Cim. 5 (AA 53). SCHOL. ARISTOPH. Lys. 759. || τô νεὸ τô ἐμ πόλει ἐν ʽôι τὸ ἀρχαῖον ἄγαλμα CIA. I, 322 (AA 19), 1. || ὁ νεὼς (ναὸς) τῆς Ἀθηνᾶς ANTIPHON *6*, 39. PAVS. *1*, 27, 2. 4. | πίων νηός (Mineruae) HOM. B 549. | νηὸς Ἀθηναίης ANTHOL. PAL. *6*, 2. CIA. III, 776. || ὁ νεὼς (ναὸς) τῆς Ἀθηνᾶς τῆς Πολιάδος CIA. II, 332. IV, *2*, 477 *d*, 25. | ὁ νεὼς ὁ ἀρχαῖος τῆς Ἀθηνᾶς τῆς Πολιάδος CIA. II, 464, 4. || ὁ νεὼς (ναὸς) τῆς Πολιάδος CIA. IV, *2*, 231 *b*, 28 (suppl.). PHILOCH. fr. 146. PAVS. *1*, 27. 1. 3. CLEM. ALEX. protr. 3, 45. EVSTATH. ad Hom. X 451. α 356 (cf. HER. *8*, 41 τῷ ἱρῷ. HES. οἰκουρὸν ὄφιν·.. τῷ ἱερῷ τοῦ Ἐρεχθέως). || ὁ νε[ὼς τῆς Ἀθηναί]ας τῆς Ἀθηνῶμ μ[εδεόσης] IGIns. I, 977 (AE 31), cf. PLVT. Themist. 10 (AA 52). || ναὸς Παλλάδος: CIA. II, 1378 ναὸν περικαλλέα Παλλάδος ἁγνῆς. 1386 Παλλάς, . . σὸν κατὰ ναὸν κ. τ. λ. || *Mineruium* ARNOB. *6*, 6. || Γλαυκώπιον CALLIMACHVS fr. anon. 332. ETYM. MAGN. τὸ ἐν ἀκροπόλει τῆς Ἀθηνᾶς ἱερόν. (cf. ad c. 22, 17.) ||

ERATOSTHENES apud Hyginum astrol. *2*, 13 *Erichthonius et quadrigas . . et sacrificia Mineruae et templum in arce Atheniensium primus instituit.* ||

Ὑπάτου, ἔνθα ἔμψυχον θύουσιν οὐδέν, πέμματα δὲ θέντες οὐδὲν ἔτι οἴνῳ χρήσασθαι νομίζουσιν. ἐσελθοῦσι δέ εἰσι βωμοί, Ποσειδῶνος, ἐφ' οὗ καὶ Ἐρεχθεῖ θύουσιν ἔκ του μαντεύματος, καὶ

26 οὐδὲ ἔτι Thiersch *Abhandl. d. bayr. Akad.* cl. I, V, *3* p. 119 οὐδέν τι Schubart et Walz οὐδενὶ ἄλλῳ Hitzig *Jahrb. f. Philol.* 1888 p. 49 οὐδὲ πυρὶ οὐδὲ ἔτι Schubart οὐδὲ μέλιτι οὐδὲ Benndorf | 27 ἔκ του Porson: ἐκ τοῦ codices

VITRVVIVS *4*, 8, 4 *item generibus aliis constituuntur aedes ex isdem symmetriis ordinatae et alio genere dispositiones habentes, uti est . . . Nemori Dianae, columnis adiectis dextra ac sinistra ad umeros pronai. hoc autem genere primo factae sunt, uti est Castoris in Circo, Athenis in arce et in Attica Sunio Palladis Mineruae. earum non aliae sed eaedem sunt proportiones; cellae enim longitudinibus duplices sunt ad latitudines uti reliquae, sed is omnia quae solent esse in frontibus ad latera sunt translata.* || PLVTARCHVS Cim. 5 (AA 53) τῶν περὶ τὸν ναὸν κρεμαμένων ἀσπίδων. || CALLIMACHVS fr. 122 (schol. Pind. Nem. 10, 64) καὶ γὰρ Ἀθηναίοις πάρ' (Meineke ad Callim. p. 227: παρ' Ἀθ. γὰρ ug.) ἐπὶ στέγος ἱερὸν ἧνται Κάλπιδες, οὐ κόσμου σύμβολον ἀλλὰ πάλης. || CIA. III, 776 Δῆμος [Ἐ]ρεχθῆος βασιλῆ[α] λόγων ἀνέθηκεν | Πλούταρχον, σταθερῆς ἕρμα σαοφροσύνης· | Ὃς καὶ τρὶς ποτὶ νηὸν Ἀθηναίης ἐπέλασσεν | Ναῦν ἐλάσας ἱερήν, πλοῦτον ὅλον προχέας.

25** Ἐρέχθειον] HOMERVS η, 80 ἵκετο δ' ἐς Μαραθῶνα καὶ εὐρυάγυιαν Ἀθήνην, Δῦνε δ' Ἐρεχθῆος πυκινὸν δόμον. | B, 546 οἳ δ' ἄρ' Ἀθήνας εἶχον, ἐυκτίμενον πτολίεθρον, Δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' Ἀθήνη Θρέψε, Διὸς θυγάτηρ (τέκε δὲ ζείδωρος ἄρουρα), Κὰδ δ' ἐν Ἀθήνῃς εἷσεν, ἑῷ ἐνὶ πίονι νηῷ· Ἔνθα δέ μιν ταύροισι καὶ ἀρνειοῖς ἱλάονται Κοῦροι Ἀθηναίων περιτελλομένων ἐνιαυτῶν. || HERODOTVS *8*, 55 (AA 56) ἔστι ἐν τῇ ἀκροπόλι ταύτῃ Ἐρεχθέος τοῦ γηγενέος λεγομένου εἶναι νηός (σηκός Furtwaengler), ἐν τῷ ἐλαίη τε καὶ θάλασσα ἔνι, τὰ λόγος παρὰ Ἀθηναίων Ποσειδέωνα τε καὶ Ἀθηναίην ἐρίσαντας περὶ τῆς χώρης μαρτύρια θέσθαι. | DIONYSIVS HAL. antt. exc. *14*, 2 Ἀθήνησι ἐν τοῦ γηγενοῦς Ἐρεχθέως τῷ σηκῷ ἱερά τις ὑπ' Ἀθηνᾶς φυτευθεῖσα ἐλαία (u. ad c. 27, 9). || CICERO de nat. deor. *3*, 49 *Erechtheus, cuius Athenis et delubrum uidimus et sacerdotem.* || HESYCHIVS οἰκουρὸν ὄφιν· . . ἐν τῷ ἱερῷ τοῦ Ἐρεχθέως (u. ad u. 28*, cf. EVSTATHIVS ad Hom. α 356 ἐν τῷ νεῷ τῆς Πολιάδος). || PLVTARCHVS symp. quaestt. *9*, 6 (Neptunus) νεὼ κοινωνεῖ μετὰ τῆς Ἀθηνᾶς. | HIMERIVS ecl. 5, 30 τὸ πλησίον τοῦ Ποσειδῶνος τέμενος (u. ad u. 25*). || VITRVVIVS *4*, 8, 4 u. ad u. 25***.

Διὸς βωμὸς Ὑπάτου] PAVSANIAS *8*, 2, 3 ὁ μὲν γὰρ (Κέκροψ) Δία τε ὠνόμασεν Ὕπατον πρῶτος καὶ ὁπόσα ἔχει ψυχὴν τούτων μὲν ἠξίωσεν οὐδὲν θῦσαι, πέμματα δὲ ἐπιχώρια ἐπὶ τοῦ βωμοῦ καθήγισεν, ἃ πελάνους καλοῦσιν ἔτι καὶ ἐς ἡμᾶς Ἀθηναῖοι. (cf. ad c. 24, 24*.) || EVSEBIVS praep. euang. *10*, 9, 22 (AA 3) πρῶτος Κέκροψ λέγεται Ζῆνα κεκληκέναι τὸν θεόν, . . . ἔπειτα βωμὸν παρ' Ἀθηναίοις ἱδρῦσαι πρῶτος (cf. ad u. 31*). 25†

porticus meridionalis (tab. XX. XXI. XXVII, *G*)] AE 22, I, 56 τὸν τοῖχον τὸν πρὸς νότο ἀνέμο . . πλὲν τô ἐν τêι προστάσει τêι πρὸς τôι Κεκροπίοι. | I, 83 ἐπὶ τêι προστάσει τêι πρὸς τô[ι] Κεκροπίοι . . ἐπὶ τôν κορôν. | I, 62 τôν (ὀρθοστατôν τôν) ἐν τêι προστάσει τêι πρὸς τôι Κεκροπίοι. | I, 9 τêι γωνίαι τêι πρός τô Κεκροπίο. | 20, *a*, II, 23 [Κ]εκροπίο. || cf. ad c. 27, 12*. 27

ἐσελθοῦσι] cella Erechthei: tab. laud., *C*. 27*

βωμὸς Ποσειδῶνος Ἐρεχθέως] HERODOTVS *5*, 82 ἐδέοντο ὦν οἱ Ἐπιδαύριοι Ἀθηναίων ἐλαίην σφίσι δοῦναι ταμέσθαι (ad signa dearum Damiae et Auxesiae facienda) . . . . οἳ δὲ ἐπὶ τοισίδε δώσειν ἔφασαν ἐπ' ᾧ ἀπάξουσι ἔτεος ἑκάστου τῇ Ἀθηναίῃ τε τῇ Πολιάδι ἱρὰ καὶ τῷ Ἐρεχθέι. || ATHENAGORAS leg. 1 ὁ δὲ Ἀθηναῖος Ἐρεχθεῖ Ποσειδῶνι θύει καὶ Ἀγραύλῳ Ἀθηνᾷ καὶ Πανδρόσῳ. | HESYCHIVS Ἐρεχθεύς· Ποσειδῶν ἐν Ἀθήναις. | VITAE X ORATT. p. 843b (e CAECILIO) Μήδειος ὃς τὴν ἱερωσύνην Ποσειδῶνος Ἐρεχθέως εἶχε . . . . διετάξατο δὲ (Themistocles Theophrasti f.) καὶ τὴν ἱερωσύνην τοῦ Ποσειδῶνος Ἐρεχθέως. | APOLLODORVS *3*, 196 u. ad u. 28*. | CIA. I, 387 Ἐπιτέλες Οἰνοχάρες Σοιναύτο Περγασêθεν Ποσειδôνι Ἐρεχθεῖ ἀνεθέτεν. || CIA. III, 805 (saec. I p. Chr.) Γά. Ἰούλιον Σπαρτιατικὸν ἀρχιερέα θε|[ῶν] Σεβαστῶν κ[αὶ γέ]νους Σε[β]αστῶν | [5] ἐκ τοῦ κοινοῦ τῆ[ς] Ἀχαίας διὰ βίου πρῶτον τῶν ἀπ' αἰῶνος ὁ ἱερεὺς Ποσειδῶνο[ς] Ἐρεχθέος Γαιηόχου | [10] Τι. Κλαύδιος Θεογένη[ς] Παιανιεὺς τὸν ἑαυτοῦ φίλον. || CIA. III. 276 (AA 2) sellae theatri inscriptum: ἱερέως | Ποσειδῶνος | Γαιηόχου καὶ | Ἐρεχθέως. || CIA. IV, *2*, 556 *c* (saec. IV) [τῶι Ποσειδῶ]νι καὶ τῶι Ἐρε[χθεῖ] -- ταῦρον -- || Δελτ. 1889 p. 20 Ποσειδῶ[ν - -] Ἐρεχθέως. || VITAE X ORATORVM p. 843e (ad u. 28*) τῶν ἱερασαμένων τοῦ Ποσειδῶνος. | CIA. IV, *1*, 373[9] (p. 179) [Τέ]νδε 27**

ἥρωος Βούτου, τρίτος δὲ Ἡφαίστου. γραφαὶ δὲ ἐπὶ τῶν τοίχων τοῦ γένους εἰσὶ τοῦ Βουταδῶν. (26) καὶ (διπλοῦν γάρ ἐστι τὸ οἴκημα) καὶ ὕδωρ ἐστὶν ἔνδον θαλάσσιον ἐν φρέατι (τοῦτο μὲν θαῦμα οὐ μέγα· καὶ γὰρ ὅσοι μεσόγαιαν οἰκοῦσιν ἄλλοις τε ἔστι καὶ Καρσὶν Ἀφροδισιεῦσιν· ἀλλὰ τόδε ⟨τὸ⟩ φρέαρ ἐς συγγραφὴν παρέχεται κυμάτων ἦχον ἐπὶ νότῳ πνεύσαντι) καὶ τριαίνης ἐστὶν ἐν τῇ πέτρᾳ σχῆμα· ταῦτα δὲ λέγεται Ποσειδῶνι μαρτύρια ἐς τὴν ἀμφισβήτησιν τῆς χώρας φανῆναι.

28 Ἐτεοβουταδῶν suspicatur Iahn | 29 prius καὶ del. Siebelis. ante καὶ nonnulla excidisse putauit Iahn | τοῦτο — 31 πνεύσαντι parenthesin esse perspexit Iahn | 30 immo Μυλασεῦσιν cf. adnotationem | 31 τὸ add. Bekker | 32 σῆμα Goettling *Ges. Abhandl.* I p. 111 σχίσμα Wieseler p. 332

κόρεν ἀνέθεκεν ἀπαρχὲν [Ναύ]λοχος ἄγρας, Ἥν οἱ Ποντομέδ[ον χρυ]σοτρία[ι]ν' ἔπορεν.

28 βωμὸς Βούτου] CIA. II, 1656 (saec. IV) fragmento sellae marmoreae in Erechtheo reperto inscriptum: ἱερέως Βούτου. || EVSTATHIVS ad Homer. Α 1 ἦν Βούτης υἱὸς Ποσειδῶνος, ὡς Ἡσίοδος ἐν καταλόγῳ.

28* γραφαὶ τοῦ γένους τοῦ Βουταδῶν] APOLLODORVS *3*, 196 (15, 1, 1) Πανδίονος ἀποθανόντος οἱ παῖδες τὰ πατρῷα ἐμερίσαντο, καὶ τὴν μὲν βασιλείαν Ἐρεχθεὺς λαμβάνει, τὴν δὲ ἱερωσύνην τῆς Ἀθηνᾶς καὶ τοῦ Ποσειδῶνος τοῦ Ἐρεχθέως (Heyne: Ἐριχθονίου ug.) Βούτης. || HARPOCRATION Βούτης· οὗτος ἔσχε τὴν ἱερωσύνην, καὶ οἱ ἀπὸ τούτου Βουτάδαι. καὶ Ἐτεοβουτάδαι οἱ ἀπόγονοι τοῦ Βούτου. (cf. ETYM. M. Βουτάδαι. SVID. Βούτης.) | IDEM Ἐτεοβουτάδαι· ... γένος παρ' Ἀθηναίοις, οἷον οἱ ἀληθῶς ἀπὸ Βούτου· ἐτεὸν γὰρ τὸ ἀληθές. ἐκ δὲ τούτων καθίστατο ἡ ἱέρεια τῆς Πολιάδος Ἀθηνᾶς, καθά φησι Δράκων περὶ γενῶν. (cf. ETYM. M. PHOTIVS. SVIDAS. SCHOL. PATM. DEMOSTH. *21*, 182. AESCHINES *2*, 147 Ἐτεοβουτάδαις .. ὅθεν ἡ τῆς Ἀθηνᾶς τῆς Πολιάδος ἐστὶν ἱέρεια.) || VITAE X ORATORVM p. 843e (ex HELIODORO) κατῆγον τὸ γένος ἀπωτάτω μὲν ἀπὸ τούτων καὶ (ἀπὸ Βούτου καὶ Sauppe *Allg. Schulztg.* 1836 p. 418 ἀπὸ Βούτου τοῦ GHermannus opusc. V p. 218 ἀπ' Turicenses) Ἐρεχθέως τοῦ Γῆς καὶ Ἡφαίστου, τὰ δ' ἐγγυτάτω ἀπὸ Λυκομήδους καὶ Λυκούργου, οὓς ὁ δῆμος ταφαῖς ἐτίμησε δημοσίᾳ· καὶ ἔστιν αὕτη ἡ καταγωγὴ τοῦ γένους τῶν ἱερασαμένων τοῦ Ποσειδῶνος ἐν πίνακι τελείῳ, ὃς ἀνάκειται ἐν Ἐρεχθείῳ γεγραμμένος ὑπ' Ἰσμηνίου τοῦ Χαλκιδέως, καὶ εἰκόνες ξύλιναι τοῦ τε Λυκούργου καὶ τῶν υἱῶν αὐτοῦ Ἅβρωνος Λυκούργου Λυκόφρονος, ἃς εἰργάσαντο Τίμαρχος καὶ Κηφισόδοτος οἱ Πραξιτέλους υἱεῖς. τὸν δὲ πίνακα ἀνέθηκεν Ἅβρων ὁ παῖς αὐτοῦ, λαχὼν ἐκ τοῦ γένους τὴν ἱερωσύνην καὶ παραχωρήσας τῷ ἀδελφῷ Λυκόφρονι· καὶ διὰ τοῦτο πεποίηται ὁ Ἅβρων προσδιδοὺς (παραδιδοὺς Reiske) αὐτῷ τὴν τρίαιναν. || SCHOLION ARISTIDIS III p. 62 D. "πάρεδρον" δὲ "τῆς θεοῦ" τὸν Ἐρεχθέα φησίν, ἐπειδὴ ἐν τῇ ἀκροπόλει ὀπίσω τῆς θεοῦ ὁ Ἐρεχθεὺς γέγραπται ἅρμα ἐλαύνων· πρῶτος γὰρ οὗτος ἅρμα τέλειον, ὅ ἐστι τέθριππον, ἔζευξε. "σὺν τῇ θεῷ" δὲ εἶπεν, ὅτι αὐτῆς Ἀθηνᾶς τὴν κατασκευὴν ὑποβαλούσης αὐτῷ. (cf. ARISTIDES *13* p. 193 D. de re publica Atheniensium: Ἐρεχθέα τοῖς ἐν ἀκροπόλει θεοῖς πάρεδρον ἀποδείξασα.)

29 διπλοῦν οἴκημα] AA 22, I, 71 τō (τοίχο τō) ἐν τōι προστομιαί[οι]. | 27, *c*, 32 τὰ μετακιόνια τέτταρα ὄντα τὰ πρὸς τō Πανδροσείο. | 26, II, 27 ἐπὶ τὸμ πρὸς τō Πανδροσείο αἰετόν. || cf. tab. XXVII, *D* et XXVIII.

29* ὕδωρ θαλάσσιον ἐν φρέατι] HERODOTVS *8*, 55 u. ad u. 25 ⁂. || APOLLODORVS *3*, 178 (14, 1, 2) ἧκεν οὖν πρῶτος Ποσειδῶν ἐπὶ (εἰς Hercher) τὴν Ἀττικήν, καὶ πλήξας τῇ τριαίνῃ κατὰ μέσην τὴν ἀκρόπολιν ἀνέφηνε θάλασσαν, ἣν νῦν Ἐρεχθηίδα καλοῦσι. (cf. ad c. 27, 8*.) || cf. tab. XXVI ad litteram *D*.

30 Καρσίν] PAVSANIAS *8*, 10, 4 θαλάσσης δὲ ἀναφαίνεσθαι κῦμα ἐν τῷ ἱερῷ τούτῳ (Neptuni Equestris prope Mantineam) λόγος ἐστὶν ἀρχαῖος· ἐοικότα δὲ καὶ Ἀθηναῖοι λέγουσιν ἐς τὸ κῦμα τὸ ἐν ἀκροπόλει, καὶ Καρῶν οἱ Μύλασα ἔχοντες ἐς τοῦ θεοῦ τὸ ἱερὸν ὃν φωνῇ τῇ ἐπιχωρίᾳ καλοῦσιν Ὀσογῶα. Ἀθηναίοις μὲν δὴ σταδίους μάλιστα εἴκοσιν ἀφέστηκε τῆς πόλεως ἡ πρὸς Φαλήρῳ θάλασσα· ὡσαύτως δὲ καὶ Μυλασεῦσιν ἐπίνειον σταδίους ὀγδοήκοντα ἀπέχον ἐστὶν ἀπὸ τῆς πόλεως· Μαντινεῦσι δὲ ἐκ μακροτάτων τε ἡ θάλασσα ἄνεισι καὶ ἐκφανέστατα δὴ κατὰ τοῦ θεοῦ γνώμην.

31 τριαίνης ἐν τῇ πέτρᾳ σχῆμα (tab. XX et XXI, C**, *k*)] STRABO *9*, p. 396 ἔπεισι γὰρ ὅ φησιν Ἡγησίας "ὁρῶ τὴν ἀκρόπολιν καὶ τὸ περιττῆς τριαίνης ἐκεῖθι σημεῖον" . . . . οὗτος μὲν οὖν ἑνὸς ἐμνήσθη τῶν ἐν ἀκροπόλει σημείων, Πολέμων δ' ὁ περιηγητὴς τέτταρα βιβλία συνέγραψε περὶ τῶν ἀναθημάτων τῶν ἐν ἀκροπόλει.

31* porticus septentrionalis (tab. XX. XXI, C**. XXII—XXVII, *F*)] AA 22, I, 77 ἐν τε̃ι προστάσει τε̃ι πρὸς τō θυρόματος (ib. II, 87 θύραι λίθιναι) τὸμ βομὸν τō θυεχō. | ib. II, 95 τōι βομōι

(26)6 Ἱερὰ μὲν τῆς Ἀθηνᾶς ἐστίν ἥ τε ἄλλη πόλις καὶ ἡ πᾶσα ὁμοίως γῆ (καὶ γὰρ ὅσοις θεοὺς καθέστηκεν ἄλλους ἐν τοῖς δήμοις σέβειν οὐδέν τι ἧσσον τὴν Ἀθηνᾶν ἄγουσιν ἐν τιμῇ), τὸ δὲ ἁγιώτατον ἐν κοινῷ πολλοῖς πρότερον νομισθὲν ἔτεσιν ⟨ἢ⟩ συνῆλθον ἀπὸ τῶν δήμων ἐστὶν Ἀθηνᾶς

36 ἔτεσι συνῆλθεν codices, corr. Loescher

[τὸ]ι τô θυεχô. | AA 28, *c*, I, 60 τὸς ὀρθοσ[τάτας] τὸ παρὰ τὸ[ν θ]υεχô βομό[ν]. || AA 2, 244 sellae theatri inscriptum: * * * θυηχόου.

34 ὁ ναὸς τῆς Ἀθηνᾶς u. ad u. 25***.

34* πρόναος καὶ βωμοί (tab. XXI—XXII, *A*)] AE 20 τὸ προ[νείο καὶ τ]ô β[ο]μô. || AE 22, II, 53 τὲν πρόστασιν τὲν πρὸς ἑο | 93 τôι ὑπερθύροι τôι πρὸς ἑώ. | AE 26, II, 8 et 26 ὁ πρὸς ἕο αἰετός. || AE 28, *c*, I, 63 et II, 48 τὸν (κίονα τὸν) πρὸς τô βομô τε̃ς Διόνες. similiter reliquae quinque columnae numerantur ἀπὸ τô βομô τε̃ς Διόνες AE 28, *d*, I, 6. *c*, I. 36. II, 63. (cf. CIA. IV, *2*, 1550*c* (saec. IV) in fragmentis lecti marmorei τῆι Δ[ιών]ηι Φίλη Νικήτου ἀνέ[θηκε]. AE 2, 333 in sella theatri Διώνης.) || Lvcianvs pisc. 21 ἐνταῦθά που ἐν τῷ προνάῳ τῆς Πολιάδος δικάσωμεν. ἡ ἱέρεια διάθες ἡμῖν τὰ βάθρα. || AE 24, 20 τôι [πρὸ]ς ἕο τοίχοι τôι πρὸς τô βομô. | 28, *c*, I, 34 et 63 τôν κιόνον τôν πρὸς ἕο τôν κατὰ (II, 48 παρὰ) τὸν βομόν. | cf. ad u. 20.

34** cella Mineruae Poliadis (tab. XXI. XXVI. XXVII, *B*)] Herodotvs *5*, 72 (AA 40) τὸ ἄδυτον τῆς θεοῦ . . ἡ δὲ ἱρείη ἐξαναστᾶσα ἐκ τοῦ θρόνου πρὶν ἢ τὰς θύρας αὐτὸν ἀμεῖψαι κ. τ. λ. || AE 20, I, 75 τô (τοίχο τô) πρὸς τὀγάλματος.

36 Ἀθηνᾶς ἄγαλμα] τὸ ἄγαλμα AE 20, I, 75. 24, a, *c*, 44. CIA. IV, *2*, 15*c*, 21. Herod. *5*, 71 (AA 24). | τὸ ἄγ. τῆς θεοῦ Plvt. Them. 10 (AA 52). | τὸ ἄγ. τῆς Ἀθηνᾶς Dio Cass. *54*, 7 (AA 224). Evseb. praep. euang. *10*, 9, 22. | τὸ ἄγ. τῆς Ἀθηνᾶς τῆς Πολιάδος Philostr. u. Apoll. *3*, 14. | τὸ ἀρχαῖον ἄγ. AE 22, 1. | τὸ ἄγ. τὸ ἀρχαῖον καὶ διιπετές schol. Aristid. III p. 320 D. | ἄγ. ἐξ ἀρχῆς γενόμενον ἐξ ἐλαίας schol. Demosth. *22*, 13. || τὸ ἕδος Plvt. Sol. 12. Alcib. 34. | τὸ ἕδ. τῆς θεοῦ CIA. III, 70*a* (p. 484). | τὸ ἕδ. τῆς Ἀθηνᾶς Xen. Hell. *1*, 4, 12. | τὸ ἕδ. τὸ ἀρχαῖον τῆς Ἀθηνᾶς Hes. Πραξιεργίδαι. || τὸ εἴδωλον τὸ ἀπὸ τῆς ἐλαίας τὸ παλαιόν Athenag. leg. 17 (ad c. 26, 23). || τὸ ξόανον Apollod. *3*, 190 (14, 6, 6). Svid. οἱ νομοφύλακες. || βρέτας ἑστίας ἐμῆς (Mineruae) πέλας Aesch. Eum. 439. | βρ. θεᾶς ib. 242. 259. 409. 446. | παλαιὸν βρ. ib. 80. | ἅγιον βρ. Arist. Lys. 262. | Παλλάδος σεμνὸν βρ. Evr. El. 1254. || ἡ θεός Dem. [*59*], 105. Synes. de calu. 19 (AA 149). schol. Aristid. III p. 62 D. || Ἀθηνᾶ Thvc. *5*, 23. | ἡ Ἀθ. ἡ ἐν ἀκροπόλει Aristot. oecon. [*2*], 2, 4. | ἡ Ἀθ. ἡ ἐν πόλει Arrian. anab. *1*, 16, 7. | Ἀθ. Πολιάς CIA. II, 737, A, II, 3. Ἐφημ. ἀρχ. 1884 p. 169, 15. Aristoph. au. 828 c. schol. Philostr. u. Apoll. *3*, 14. Zenob. prou. *1*, 56. schol. Demosth. *22*, 13. | ἡ Πολιάς Plvt. de daed. Plat. fr. 10. | ἡ Πολιοῦχος Theodoret. Graec. affectt. cur. *8*, 30. schol. Aristid. III p. 657 D. | ἡ πρόμαχος Ἀθ. Zos. *5*, 6, 2. πρόμαχος Παλλὰς Κεκροπίης CIA. III, 638. || ἡ Παλλάς CIA. II, 469, 10. 470, 11. 471, 11. | *Pallas Attica* Tertvll. apol. 16. ad natt. *1*, 12. | [τὸ Π]αλλ[άδιον] (?) AE 28, *d*, II, 10. || ipsa dea in titulis publicis aut Ἀθηνᾶ Πολιάς aut Ἀθηνᾶ aut ἡ θεὸς uocatur; semel socii nescio qui iubentur sexagesimam tributorum Poliadi debitam τῆι Παρθένωι ἐξαιρεῖν (CIA. I, 51, 14).

36* simulacri origo et species] schol. Aristidis III p. 320 D. (ad c. 28, 4) διοπετές· ἐν γὰρ τῇ Τροίᾳ φασὶν ἐξ οὐρανοῦ τουτὶ πεπτωκέναι. | ibid. διιπετές. || Plvtarchvs de daedal. Plat. fr. 10 ξύλινον τὸ τῆς Πολιάδος ὑπὸ τῶν αὐτοχθόνων ἱδρυθὲν (ἄγαλμα), ὃ μέχρι νῦν Ἀθηναῖοι διαφυλάττουσιν. || Evsebivs praep. euang. *10*, 9, 22 πρῶτος (Cecrops dicitur) Ἀθηνᾶς ἄγαλμα στήσασθαι. || Apollodorvs *3*, 190 (14, 6, 6) ἐν τῷ τεμένει τραφεὶς Ἐριχθόνιος ὑπ' αὐτῆς Ἀθηνᾶς . . . τὸ ἐν ἀκροπόλει ξόανον τῆς Ἀθηνᾶς ἱδρύσατο. || Athenagoras leg. 17 (ad c. 26, 23) τὸ ἀπὸ τῆς ἐλαίας, τὸ παλαιὸν . . Ἔνδοιος εἰργάσατο. || Philostratvs u. Apoll. *3*, 14 τὰ δέ γε ἀρχαιότατα τῶν παρ' Ἕλλησι (ἀγαλμάτων), τό τε τῆς Ἀθηνᾶς τῆς Πολιάδος καὶ τὸ τοῦ Ἀπόλλωνος τοῦ Δηλίου καὶ τὸ τοῦ Διονύσου τοῦ Λιμναίου καὶ τὸ τοῦ Ἀμυκλαίου καὶ ὁπόσα ὧδε ἀρχαῖα κ. τ. λ. || Tertvllianvs apolog. 16 (ad natt. *1*, 12) *et tamen quanto distinguitur a crucis stipite Pallas Attica, et Ceres Raria quae sine effigie, rudi palo et informi ligno* (*solo staticulo ligni informis* ad natt.) *prostat?* || Evripides El. 1254 Ἐλθὼν δ' Ἀθήνας Παλλάδος σεμνὸν βρέτας Πρόσπτυξον· εἴρξει γάρ νιν ἐπτοημένας Δεινοῖς δρακοῦσιν, ὥστε μὴ ψαύειν σέθεν, Γοργῶφ' ὑπερτείνουσα σοῦ κάρα κύκλον. || Zosimvs *5*, 6, 2 (AA 242) τὴν πρόμαχον Ἀθηνᾶν, ὡς ἔστιν αὐτὴν ὁρᾶν ἐν τοῖς ἀγάλμασιν, ὡπλισμένην καὶ οἷον τοῖς ἐπιοῦσιν ἐνίστασθαι μέλλουσαν. (cf. tabb. tit. et XXXV, 1. XXXVII, 1. 2.) || Plvtarchvs Them. 10 (AA 52) καταβαινόντων εἰς Πειραιᾶ τῶν Ἀθηναίων

ἄγαλμα ἐν τῇ νῦν ἀκροπόλει, τότε δὲ ὀνομαζομένῃ πόλει· φήμη δὲ ἐς αὐτὸ ἔχει πεσεῖν ἐκ τοῦ (26) οὐρανοῦ. καὶ τοῦτο μὲν οὐκ ἐπέξειμι, εἴτε οὕτως εἴτε ἄλλως ἔχει· λύχνον δὲ τῇ θεῷ χρυσοῦν Καλλίμαχος ἐποίησεν. ἐμπλήσαντες δὲ ἐλαίου τὸν λύχνον τὴν αὐτὴν τοῦ μέλλοντος ἔτους ἀναμένουσιν ἡμέραν· ἔλαιον δὲ ἐκεῖνο τὸν μεταξὺ ἐπαρκεῖ χρόνον τῷ λύχνῳ κατὰ τὰ αὐτὰ ἐν ἡμέρᾳ καὶ νυκτὶ φαίνοντι. καὶ οἱ λίνου Καρπασίου θρυαλλὶς ἔνεστιν, ὃ δὴ πυρὶ λίνων μόνον οὐκ ἔστιν ἁλώσιμον. φοῖνιξ δὲ ὑπὲρ τοῦ λύχνου χαλκοῦς ἀνήκων ἐς τὸν ὄροφον ἀνασπᾷ τὴν ἀτμίδα. ὁ δὲ Καλλίμαχος ⟨ὁ⟩ τὸν λύχνον ποιήσας, ἀποδέων τῶν πρώτων ἐς αὐτὴν τὴν τέχνην, οὕτω σοφίᾳ πάν-

37 μὲν post νῦν ins. Herwerden p. 51 | 41 Καρυστίου Politus ad Eust. II p. 586 | 43 ὁ ins. Sylburg

(Κλείδημος) φησὶν ἀπολέσθαι τὸ γοργόνειον ἀπὸ τῆς θεοῦ τοῦ ἀγάλματος. | ISOCRATES *18*, 57 (ad c. 24, 42) τὸ γοργόνειον ὑφελόμενος. | SYNESIVS de calu. 19 (ibid.) ὁ τῆς θεοῦ τὸ γοργόνειον ἐξ ἀκροπόλεως ὑφελόμενος. (EVSTATHIVS ad Hom. λ 634.) || AE 24, *c*, 44 τὰς σελίδας (aediculae) τὰς ὑπὲρ [τ]ῦ ἀγάλματος. || DIO CASSIVS *54*, 7 (AA 224) (τὸ ἄγαλμα) πρὸς ἀνατολῶν ἱδρυμένον πρός τε τὰς δυσμὰς μετεστράφη καὶ αἷμα ἀπέπτυσεν.

36** Παναθήναια] ZENOBIVS prou. *1*, 56 Ἀκεσέως καὶ Ἑλικῶνος ἔργα· ἐπὶ τῶν θαύματος ἀξίων. οὗτοι γὰρ πρῶτοι τὸν τῆς Πολιάδος Ἀθηνᾶς πέπλον ἐδημιούργησαν. (DIOGEN. *2*, 7. APOSTOL. *1*, 99, cf. epigramma Delphicum ap. ATHENAEVM *2*, 30 p. 48b Τεῦξ' Ἑλικὼν Ἀκεσᾶ Σαλαμίνιος, ᾧ ἐνὶ χερσὶ Πότνια θεσπεσίην Παλλὰς ἔπνευσε χάριν.) || ARISTOPHANES au. 826 (Ἔποψ.) . . τίς δαὶ θεὸς Πολιοῦχος ἔσται; τῷ ξανοῦμεν τὸν πέπλον; (Πειθέταιρος.) Τί δ' οὐκ Ἀθηναίαν ἐῶμεν πολιάδα; | SCHOL. τῇ Ἀθηνᾷ πολιάδι οὔσῃ πέπλος ἐγίνετο παμποίκιλος, ὃν ἀνέφερον ἐν τῇ πομπῇ τῶν Παναθηναίων. || CIA. III, 70 *a* (p. 484, AA 239) in parte antae quae ad hanc aedem pertinuisse uidetur: [ὁ σε]μνότατος ἀγ[ωνοθ]έτης τῶν με[γάλων] Παναθηνα[ίων καὶ ἱ]ερεὺς πανα[γὴς Ἐρ]έννιος Δέξ[ιππος] Πτολεμαίο[υ Ἕρμ]ειος τὸ ἀκρ[οστό]λιον τῆι πόλ[ει τῆς Π]αναθηναΐδ[ος σκά]φης καὶ τὸ ἕδο[ς τῆ]ς θεοῦ ἀνέστη[σεν].

36*** Πλυντήρια] ANECDOTA Bekkeri p. 270, 3 Πλυντήρια καλεῖται διὰ τὸ μετὰ τὸν θάνατον τῆς Ἀγραύλου ἑνὸς ἐνιαυτοῦ μὴ πλυθῆναι τὰς ἱερὰς ἐσθῆτας. (PHOT. Καλλυντήρια.) || PLVTARCHVS Alcib. 34 ἐδρᾶτο τὰ Πλυντήρια τῇ θεῷ. δρῶσι δὲ τὰ ὄργια Πραξιεργίδαι Θαργηλιῶνος ἕκτῃ φθίνοντος (δευτέρᾳ φθίνοντος PHOT. l. l., cf. CIA. IV, *1*, 3, p. 5) ἀπόρρητα, τόν τε κόσμον καθελόντες καὶ τὸ ἕδος παρακαλύψαντες. | XENOPHON Hell. *1*, 4, 12 τοῦ ἕδους κατακεκαλυμμένου τῆς Ἀθηνᾶς. || SVIDAS οἱ νομοφύλακες· . . . τῇ Παλλάδι τὴν πομπὴν ἐκόσμουν, ὅτε κομίζοιτο τὸ ξόανον ἐπὶ τὴν θάλασσαν. | CIA. II, 469, 9. 470, 10. 471, 11 συνεξήγαγον (οἱ ἔφηβοι) καὶ τὴν Παλλάδα Φαληροῖ κἀκεῖθεν (470: Παλλάδα μετὰ τῶν γεννητῶν καὶ) πάλιν συνεισήγαγον μετὰ φωτὸς μετὰ πάσης εὐκοσμίας. || HESYCHIVS Πραξιεργίδαι· οἱ τὸ ἕδος τὸ ἀρχαῖον τῆς Ἀθηνᾶς ἀμφιεννύντες. | CIA. I, 93, 11 [ἀμ]φιεννύωσιν τὸν πέπλον. || POLLVX *8*, 141 περισχοινίσαι τὰ ἱερὰ ἔλεγον ἐν ταῖς ἀποφράσι τὸ ἀποφράξαι, οἷον Πλυντηρίοις.

37 πόλει] THVCYDIDES *2*, 15 τὸ πρὸ τούτου ἡ ἀκρόπολις ἡ νῦν οὖσα πόλις ἦν . . . καλεῖται δὲ διὰ τὴν παλαιὰν ταύτῃ κατοίκησιν καὶ ἡ ἀκρόπολις μέχρι τοῦδε ἔτι ὑπ' Ἀθηναίων πόλις. (cf. ad c. 22, 17.) || SCHOL. DEMOSTH. *22*, 13 ὅπερ (signum) ἐκαλεῖτο Πολιάδος Ἀθηνᾶς διὰ τὸ αὐτῆς εἶναι τὴν πόλιν.

37* ἐκ τοῦ οὐρανοῦ] cf. ad c. u. 35*.

38 λύχνος (cf. tab. XXVI)] STRABO *9* p. 396 ἐπὶ τῇ πέτρᾳ τὸ τῆς Ἀθηνᾶς ἱερόν, ὅ τε ἀρχαῖος νεὼς ὁ τῆς Πολιάδος, ἐν ᾧ ὁ ἄσβεστος λύχνος, καὶ ὁ Παρθενών. | SCHOL. HOMERI τ 34 τὸν ἄσβεστον Ἀθήνησι λύχνον. || PLVTARCHVS Sullae 13 τὸν μὲν ἱερὸν τῆς θεοῦ λύχνον ἀπεσβηκότα διὰ σπάνιν ἐλαίου περιεῖδε (Aristio). | IDEM Numae 9 τῆς Ἑλλάδος ὅπου πῦρ ἄσβεστόν ἐστιν, ὡς Πυθοῖ καὶ Ἀθήνησιν, οὐ παρθένοι, γυναῖκες δὲ πεπαυμέναι γάμων ἔχουσι τὴν ἐπιμέλειαν· ἐὰν δὲ ὑπὸ τύχης τινὸς ἐκλίπῃ, καθάπερ Ἀθήνησι μὲν ἐπὶ τῆς Ἀριστίωνος λέγεται τυραννίδος ἀποσβεσθῆναι τὸν ἱερὸν λύχνον . . . οὔ φασι δεῖν ἀπὸ ἑτέρου πυρὸς ἐναύεσθαι, καινὸν δὲ ποιεῖν καὶ νέον, ἀνάπτοντας ἀπὸ τοῦ ἡλίου φλόγα καθαρὰν καὶ ἀμίαντον. || NONNVS *33*, 123 Ἀμφιγυήεις Κεκροπίου λύχνοιο φεραυγέα δαλὸν ἀνάψας. | ID. *27*, 115 αἴθοπι λύχνῳ. 320 ἀειφανέος σέο (Vulcani) λύχνου.

39 Καλλίμαχος] PLINIVS *34*, 92 *ex omnibus autem maxime cognomine insignis est Callimachus, semper calumniator sui nec finem habentis diligentiae, ob id catatexitechnus* (Sillig: *calatexitechnus* Bbg.) *appellatus, memorabili exemplo adhibendi et curae modum.* | VITRVVIVS *4*, 1, 10 *Callimachus, qui propter elegantiam et subtilitatem artis marmorariae* (Michaelis: *marmoreae* libri) *ab Atheniensibus catatechnos fuerat nominatus.*

(26) των ἐστὶν ἄριστος ὥστε καὶ λίθους πρῶτος ἐτρύπησε, καὶ ὄνομα ἔθετο κατατηξίτεχνον ἢ θεμένων ἄλλων κατέστησεν ἐφ' αὑτῷ.

27 Κεῖται δὲ ἐν τῷ ναῷ τῆς Πολιάδος Ἑρμῆς ξύλου, Κέκροπος εἶναι λεγόμενον ἀνάθημα, ὑπὸ κλάδων μυρσίνης οὐ σύνοπτος.

Ἀναθήματα δὲ ὁπόσα ἄξια λόγου, τῶν μὲν ἀρχαίων δίφρος ὀκλαδίας ἐστί, Δαιδάλου ποίημα, λάφυρα δὲ ἀπὸ Μήδων Μασιστίου θώραξ, ὃς εἶχεν ἐν Πλαταιαῖς τὴν ἡγεμονίαν τῆς ἵππου, καὶ ἀκινάκης Μαρδονίου λεγόμενος εἶναι. Μασίστιον μὲν δὴ τελευτήσαντα ὑπὸ τῶν Ἀθηναίων οἶδα ἱππέων· Μαρδονίου δὲ μαχεσαμένου Λακεδαιμονίοις ἐναντία καὶ ὑπὸ ἀνδρὸς Σπαρτιάτου πεσόντος οὐδ' ἂν ὑπεδέξαντο ἀρχήν, οὐδὲ ἴσως Ἀθηναίοις παρῆκαν φέρεσθαι Λακεδαιμόνιοι τὸν ἀκινάκην.

44 κατατηξίτεχνον uariante accentu libri meliores: κακιζότεχνον deteriores κατάτεχνον Clauerius || 1 λεγόμενος Bekker | 2 οὐ σύνοπτος Hitzig: οὐ σύνοπτον libri meliores εὐσύνοπτον deteriores | 7 ὑπεδέξατο codices | καὶ ὑπὸ ⟨Ἀειμνήστου⟩ ἀνδρὸς . . οὐδ' αὐτὸς ὑπεδέξατο . . παρῆκαν ἂν φέρεσθαι Kayser *Jahrb. f. Philol.* 1854 p. 424. οὐδὲ ἴσως ἂν ὑπεδέξαντο ἀρχήν, οὐδ' ἂν Ἀθηναίοις Bluemner ibid. 1885 p. 486

1 Ἑρμῆς] HESYCHIVS Ἐριφύλλιον (Ἐρίφυλλον Meineke)· τὸν Ἀπόλλωνα καὶ τὸν Ἑρμῆν.

4 λάφυρα ἀπὸ Μήδων] [SIMONIDES] anth. Pal. *6*, 2 Τόξα (Θῶπλα Meineke) τάδε πτολέμοιο πεπαυμένα δακρυόεντος Νηῷ Ἀθηναίης κεῖται ὑπωρόφια, Πολλάκι δὴ στονόεντα κατὰ κλόνον ἐν δαῒ φωτῶν Περσῶν ἱππομάχων αἵματι λουσάμενα. || THVCYDIDES *2*, 13 σκῦλα Μηδικὰ inter opes publicas Atheniensium enumerat. cf. DIOD. *12*, 40.

4* Μασιστίου θώραξ] HERODOTVS *9*, 22 ἐντὸς θώρηκα εἶχε (Masistius) χρύσεον λεπιδωτόν.

5 ἀκινάκης Μαρδονίου] DEMOSTHENES *24*, 129 (AA 167) ταμιεύσας (Glaucetes) ἐν ἀκροπόλει τἀριστεῖα τῆς πόλεως, ἃ ἔλαβεν ἀπὸ τῶν βαρβάρων, ὑφῃρημένος ἐξ ἀκροπόλεως, τόν τε δίφρον τὸν ἀργυρόποδα (ὃς αἰχμάλωτος ἐκαλεῖτο HARPOCRATION s. u.) καὶ τὸν ἀκινάκην τὸν Μαρδονίου, ὃς ἦγε τριακοσίους δαρεικούς. || SCHOL. DEMOSTHENIS *3*, 25 ἀνέθεσαν ἀπὸ τῶν λαφύρων τῶν Περσικῶν τὸν δίφρον τὸν ἀργυρόποδα τοῦ Ξέρξου καὶ τὸν ἀκινάκην τὸν Μαρδονίου. || DIO CHRYSOST. *2* p. 85 R. τὸν γὰρ ἀκινάκην τὸν Μαρδονίου πολὺ σεμνότερον καὶ κρεῖττον ἀνάθημα ἔχουσι καὶ τὰς Λακώνων ἀσπίδας τῶν ἐν Πύλῳ ποτὲ ἁλόντων (CIA. II, 678, *B*, 62 ἀσπίδες Λακωνικαὶ XΠ in armamentario arcis, at cf. ARISTOPH. eqq. 846 seqq.) ἢ τὰ προπύλαια τῆς ἀκροπόλεως.

6 ἀνδρὸς Σπαρτιάτου] HERODOTVS *9*, 64 ἀποθνήσκει δὲ Μαρδόνιος ὑπὸ Ἀειμνήστου ἀνδρὸς ἐν Σπάρτῃ λογίμου. | IDEM *9*, 70 τὴν μέν νυν φάτνην ταύτην τὴν Μαρδονίου ἀνέθεσαν ἐς τὸν νηὸν τῆς Ἀλέης Ἀθηναίης Τεγεῆται, τὰ δὲ ἄλλα ἐς τωὐτό, ὅσα περ ἔλαβον, ἐσήνεικαν τοῖς Ἕλλησι.

8 οἰκουρὸς ὄφις] ARISTOPHANES Lysistr. 758 Ἀλλ' οὐ δύναμαι 'γωγ' οὐδὲ κοιμᾶσθ' ἐν πόλει, Ἐξ οὗ τὸν ὄφιν εἶδον τὸν οἰκουρόν ποτε. | SCHOLION τὸν ἱερὸν δράκοντα τῆς Ἀθηνᾶς, τὸν φύλακα τοῦ ναοῦ. || HERODOTVS *8*, 41 λέγουσι Ἀθηναῖοι ὄφιν μέγαν φύλακα τῆς ἀκροπόλιος ἐνδιαιτᾶσθαι ἐν τῷ ἱρῷ (cf. AA 51). | PLVTARCHVS Themist. 10 (AA 52) τοῦ δράκοντος. || EVSTATHIVS ad Hom. α 356 οἰκουρὸς δράκων, φύλαξ τῆς Πολιάδος, ἤγουν ἐν τῷ νεῷ τῆς Πολιάδος διαιτώμενος. || HESYCHIVS οἰκουρὸν ὄφιν· τὸν τῆς Πολιάδος φύλακα δράκοντα. καὶ οἱ μὲν ἕνα φασίν, οἱ δὲ δύο ἐν τῷ ἱερῷ τοῦ Ἐρεχθέως. τοῦτον δὲ φύλακα τῆς ἀκροπόλεώς φασι, ᾧ καὶ μελιττοῦταν παρατίθεσθαι. | PHOTIVS οἰκουρὸν ὄφιν· τὸν τῆς Πολιάδος φύλακα. καὶ Ἡρόδοτος ⟨μὲν ἕνα φησὶν ἐν τῷ ἱερῷ⟩ (suppl. Creuzer), Φύλαρχος δὲ † αὐτοῦ δύο. || ETYMOL. M. δράκαυλος· Σοφοκλῆς Τυμπανισταῖς. ἐπεὶ ἡ Ἀθηνᾶ δοκεῖ παρ' αὐταῖς αὐλίσαι τὸν δράκοντα ταῖς Κέκροπος θυγατράσιν. ⟨ἢ⟩ (ins. Brunck) ὅτι συναυλίζονται κατὰ τὸ εἰκὸς Κέκροπι ὄντι διφυεῖ. ⟨ἢ⟩ (idem ins.) ὅτι συναυλίζεται μία τῷ ἐν τῇ ἀκροπόλει δράκοντι, προσημερεύουσα τῇ θεῷ. (SVIDAS. cf. HESYCH. δράκαυλος.) || PHILOSTRATVS imagg. *2*, 17, 6 τοῦτο γὰρ λέγεται τὸ θηρίον (δράκων) εὔνουν τε εἶναι τῷ χρυσῷ . . . καὶ ὁ δράκων δὲ ὁ τῆς Ἀθηνᾶς ὁ ἔτι καὶ νῦν ἐν ἀκροπόλει οἰκῶν δοκεῖ μοι τὸν Ἀθηναίων ἀσπάσασθαι δῆμον ἐπὶ τῷ χρυσῷ, ὃν ἐκεῖνοι τέττιγας ταῖς κεφαλαῖς ἐποιοῦντο. || PLVTARCHVS Demosth. 26 λέγεται γὰρ (Demosthenes) ἐκ τοῦ ἄστεος ἀπαλλαττόμενος καὶ πρὸς τὴν ἀκρόπολιν ἀνατείνας τὰς χεῖρας εἰπεῖν "ὦ δέσποινα Πολιάς, τί δὴ τρισὶ τοῖς χαλεπωτάτοις χαίρεις θηρίοις, γλαυκὶ καὶ δράκοντι καὶ δήμῳ;"

βωμοί] PLVTARCHVS quaestt. sympos. *9*, 6 νεὼ κοινωνεῖ (Ποσειδῶν) μετὰ τῆς Ἀθηνᾶς, ἐν ᾧ καὶ βωμός ἐστι Λήθης ἱδρυμένος. || AE 28 (ad c. 26, 33*) ὁ βομὸς τε͂ς Διόνες (ante aedem Poliadis). || EVSTATHIVS ad Hom. Χ 451 Ἀθήνησιν Αἰδοῦς καὶ Ἀφελείας ἦν βωμὸς περὶ (παρὰ?) τὸν τῆς Πολιάδος 8*

Περὶ δὲ τῆς ἐλαίας οὐδὲν ἔχουσιν ἄλλο εἰπεῖν ἢ τῇ θεῷ μαρτύριον γενέσθαι τοῦτο ἐς τὸν 2 (27) ἀγῶνα τὸν ἐπὶ τῇ χώρᾳ. λέγουσι δὲ καὶ τάδε, κατακαυθῆναι μὲν τὴν ἐλαίαν, ἡνίκα ὁ Μῆδος τὴν πόλιν ἐνέπρησεν Ἀθηναίοις, κατακαυθεῖσαν δὲ αὐθημερὸν ὅσον τε ἐπὶ δύο βλαστῆσαι πήχεις.

Ἀθηνᾶς νεών, καθὰ καὶ Παυσανίας ἱστορεῖ· ἃς οἱ μὲν παιδαγωγοὺς οἱ δὲ τροφοὺς τῆς θεᾶς γενέσθαί φασιν. | HESYCHIVS Αἰδοῦς βωμός· Ἀθήνησιν ἐν τῇ ἀκροπόλει Αἰδοῦς καὶ Ἀφελείας (Wachsmuth *Stadt Athen* I p. 133: φιλίας cod.) εἰσὶ βωμοὶ πρὸς τῷ ἱερῷ. | ANECDOTA Bekk. p. 355, 14 Αἰδώ· . . . καὶ ἡ τροφὸς τῆς Ἀθηνᾶς· καὶ ὁ βωμὸς ὁ ἐν τῇ ἀκροπόλει. (SVIDAS.) | AE 2, 367 ἱερεῖαι Αἰδοῦς. || PAVSANIAS *1*, 17, 1 καὶ θεοὺς εὐσεβοῦσιν (Athenienses) ἄλλων πλέον· καὶ γὰρ Αἰδοῦς σφίσι βωμός ἐστι καὶ Φήμης (cf. SCHOL. AESCHIN. *1*, 128) καὶ Ὁρμῆς.

8** monumenta publice in arce proposita] παρὰ τὸν ἀρχαῖον νεὼν SCHOL. ARISTOPH. Lys. 273 (AA 42, a. 506). | -- θεν τ͂ νεὸ τõ ἀρχ[αίο] CIA. I, 93, 5 (saec. V). | [παρὰ τὸν νεὼ τ]ὸν ἀρχαῖον τῆς Ἀθηνᾶς τ[ῆς Πολιάδος] CIA. II, 464, 4 (AA 214, statua Ptolemaei VIII, a. 117/81). | παρὰ τὸν νεὼ τῆς Ἀθηνᾶς τῆς Πολιάδος CIA. II, 332, 42 (saec. III). IV, *2*, 477 *d*, 25 (saec. I). || παρὰ τῇ θεῷ DEMOSTH. [*59*], 105 (AA 107, a. 427). | παρ' Ἀθηνᾷ THVC. *5*, 23 (AA 113, a. 421). | παρὰ [τῆι Πο]λιάδι Ἀθηνᾶι Ἐφημ. ἀρχ. 1884 p. 167, 15 (saec. fere I post Chr.). | παρὰ προμάχωι Παλλάδι Κεκροπίης CIA. III, 638 (AA 244, statua Herculii, ineunte saec. V post Chr.). || πρόσθεν τοῦ ἀγάλματος CIA. IV, *2*, 15 *e* (AA 145, a. 386). || παρὰ τὴν χαλκῆν τὴν μεγάλην Ἀθηνᾶν DEMOSTH. *19*, 272 (AA 69). | παραστήσαντες τῷ ἀγάλματι τῷ Μαραθωνόθεν ARISTID. *46* p. 288 D. || πλησίον τῶν ἀναθημάτων VITAE X ORATT. p. 853ᵃ (AA 196, a. 306). | ἧπερ ἀνάκειται τὰ ψηφίσματα τὰ περὶ Φρυνίχου IBID. p. 834ᵇ (a. 410).

9 Πανδρόσειον (tab. XX et XXVII, *E*. XXVIII)] AA 22, II, 63 et 69 τὸν τοῖχον τὸν πρὸς τõ Πανδροσείο. | ibid. I, 44 τõν κιόνον τõν ἐπὶ τõ τοίχο τõ πρὸς τõ Πανδροσείο (cf. ibid. I, 64). | 27, *c*, 32 τὰ μετακιόνια τέτταρα ὄντα τὰ πρὸς τõ Πανδροσείο. | 26, II, 27 et 40 ἐπὶ τὸμ πρὸς τõ Πανδροσείο αἰετόν. | 29, *a*, 11 κατὰ τὸ Πανδρόσειο[ν].

9* ἐλαία (tabb. laud. et XXXV, 10—14)] HERODOTVS *8*, 55 u. ad c. 26, 25 ***. || PHILOCHORVS fr. 146 ap. Dionys. Hal. de Din. 13 ἐν τῇ ἐνάτῃ φησὶ "τοῦ δ' ἐνιαυτοῦ τουδὶ διελθόντος, ἑτέρου δ' εἰσιόντος (Ol. 118, 3 = 306) ἐν ἀκροπόλει σημεῖον ἐγένετο τοιοῦτο. κύων εἰς τὸν τῆς Πολιάδος νεὼν εἰσελθοῦσα καὶ δῦσα εἰς τὸ Πανδρόσειον, ἐπὶ τὸν βωμὸν ἀναβᾶσα τοῦ Ἑρκείου Διὸς τὸν ὑπὸ τῇ ἐλαίᾳ κατέκειτο. πάτριον δ' ἐστὶ τοῖς Ἀθηναίοις κύνα μὴ ἀναβαίνειν εἰς ἀκρόπολιν." (cf. ad c. 24, 34***.) || APOLLODORVS *3*, 178 (14, 1, 2) (cf. ad c. 26, 29*) μετὰ δὲ τοῦτον (Neptunum) ἧκεν Ἀθηνᾶ, καὶ ποιησαμένη τῆς καταλήψεως Κέκροπα μάρτυρα ἐφύτευσεν ἐλαίαν, ἣ νῦν ἐν τῷ Πανδροσείῳ δείκνυται. || SCOLION apud Athenaeum *15*, 50 p. 694ᵈ Ἐνικήσαμεν ὡς ἐβουλόμεσθα, Καὶ νίκην ἔδοσαν θεοὶ φέροντες Παρὰ Πανδρόσου ὡς φίλην Ἀθηνᾶν (Πάνδροσον et Ἀθηνᾷ Bergk). || HYGINVS fab. 164 *Minerua . . primum in ea terra oleam seuit, quae adhuc dicitur stare.* | PLINIVS *16*, 240 *Athenis quoque olea durare traditur in certamine edita a Minerua.* || CICERO de leg. *1*, 1, 2 *nisi forte Athenae tuae sempiternam in arce oleam tenere potuerunt* (cf. THEOPHRASTVS hist. plant. *4*, 13, 2). || PLVTARCHVS Anton. 34 (AA 221) τῆς ἱερᾶς ἐλαίας. | POLLVX 9, 17 ἡ δὲ κωμῳδία καὶ ἀστῆς ἐλαίας εἴρηκε, τῆς ἐν πόλει. | EVSTATHIVS ad Hom. α 4 ἔλεγον οὖν Ἀθηναῖοι . . . καὶ ἀστὴν ἐλαίαν . . . . τὴν ἐξ ἀκροπόλεως, τὴν καὶ ἱεράν. | HESYCHIVS ἀστὴ ἐλαία· ἡ ἐν ἀκροπόλει, ἡ καλουμένη πάγκυφος διὰ χθαμαλότητα. | POLLVX *6*, 163 ὡς Ἀριστοφάνης, πάγκυφος ἐλαία. | HESYCHIVS πάγκυφος· ἐλαίας εἶδος τι κατακεκυφὸς καὶ ταπεινὸν ἐν τῇ ἀκροπόλει. (cf. PHOTIVS πάγκυφος ἐλαία· ἡ κατακεκυμμένη.) || ETYMOL. M. Ἀθηναίς· ἡ ἐλαία. (HESYCH.) || SVIDAS μορίαι· . . . ἦσαν δὲ πρῶται ιβ' τὸν ἀριθμόν, αἱ μεταφυτευθεῖσαι ἐκ τῆς ἀκροπόλεως εἰς Ἀκαδήμειαν. (PHOTIVS.) | SCHOL. SOPHOCLIS Oed. Col. 701 . . ὁ δ' Ἴστρος καὶ τὸν ἀριθμὸν αὐτῶν δεδήλωκεν γράφων οὕτως * * * ἔνιοι δὲ κλάδον [ἀπὸ] τῆς ἐν Ἀκαδημείᾳ ἐλαίας ἀπὸ τῆς ἐν ἀκροπόλει φυτευθῆναί φασίν.

κατακαυθῆναι τὴν ἐλαίαν] HERODOTVS 10 *8*, 55 (AA 56) ταύτην τὴν ἐλαίην ἅμα τῷ ἄλλῳ ἱρῷ κατέλαβε ἐμπρησθῆναι ὑπὸ τῶν βαρβάρων· δευτέρῃ δὲ ἡμέρῃ ἀπὸ τῆς ἐμπρήσιος Ἀθηναίων οἱ θύειν ὑπὸ βασιλέος κελευόμενοι ὡς ἀνέβησαν ἐς τὸ ἱρόν, ὥρεον βλαστὸν ἐκ τοῦ στελέχεος ὅσον τε πηχυαῖον ἀναδεδραμηκότα. | DIONYSIVS HAL. antt. exc. *14*, 2 (4) Ἀθήνησιν ἐν τοῦ γηγενοῦς Ἐρεχθέως τῷ σηκῷ ἱερά τις ὑπ' Ἀθηνᾶς φυτευθεῖσα ἐλαία κατὰ τὴν ἔριν τὴν γενομένην αὐτῇ πρὸς Ποσειδῶνα περὶ τῆς χώρας ἅμα τοῖς ἄλλοις τοῖς ἐν τῷ ἱερῷ οὖσιν ἐμπρησθεῖσα ὑπὸ τῶν βαρβάρων, ὅτε τῆς ἀκροπόλεως ἐκράτησαν, δευτέρᾳ τῆς ἐμπρήσεως ἡμέρᾳ βλαστὸν ἐκ τοῦ στελέχους ἀνῆκεν ὅσον τε πηχυαῖον. || cf. SOPHOCLES Oed. Col. 694 seqq.

(27) Τῷ ναῷ δὲ τῆς Ἀθηνᾶς Πανδρόσου ναὸς συνεχής ἐστι· καὶ ἔστι Πάνδροσος ἐς τὴν παρακαταθήκην ἀναίτιος τῶν ἀδελφῶν μόνη.

3 Ἃ δὲ μοι θαυμάσαι μάλιστα παρέσχεν ἔστι μὲν οὐκ ἐς ἅπαντας γνώριμα, γράψω δὲ οἷα συμβαίνει. παρθένοι δύο τοῦ ναοῦ τῆς Πολιάδος οἰκοῦσιν οὐ πόρρω, καλοῦσι δὲ Ἀθηναῖοι σφᾶς ἀρρηφόρους· αὗται χρόνον μέν τινα δίαιταν ἔχουσι παρὰ τῇ θεῷ, παραγενομένης δὲ τῆς ἑορτῆς

14 ἅπαντα codices meliores | 16 κανηφόρους uel καννηφόρους codices deteriores

12 Πανδρόσου ναός] CIA. II, 481, 58 ἔθυσαν (οἱ ἔφηβοι) . . τὰ ἐξιτητήρια ἐν ἀκροπόλει τῆι τε Ἀθηνᾶι τῆι Πολιάδι καὶ τῆι Κουρ[οτρό]φωι καὶ τῆι Πανδρόσ[ωι κα]ὶ ἐκαλλιέρησαν. || HARPOCRATION ἐπίβοιον· Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. Φιλόχορος δ' ἐν β' φησὶν οὕτως "ἐὰν δέ τις τῇ Ἀθηνᾷ θύῃ βοῦν, ἀναγκαῖόν ἐστι καὶ τῇ Πανδρόσῳ (Πανδώρᾳ cod. Angelicanus, SVID., ETYM. M.) θύειν οἶν (μετὰ βοὸς add. codd. Angel. Vat. Darmst., SVID., ETYM. M.), καὶ ἐκαλεῖτο τὸ θῦμα ἐπίβοιον". ὁμοίως καὶ Στάφυλος ἐν α' τῶν περὶ Ἀθηνῶν. || CIA. II, 1390. III, 887 ἐρρηφορήσασαν Ἀθηνᾶι Πολιάδι καὶ Πανδρόσωι. | II, 1383 Ἀθηνᾶι καὶ Πανδρόσωι ἐρρηφορήσασαν. || CIA. II, 1160 [ἱέρειαν(?) Παν]δρόσου. || PAVSANIAS *9*, 35, 2 (cf. ad c. 22, 46) τῇ δὲ ἑτέρᾳ τῶν Ὡρῶν νέμουσιν ὁμοῦ τῇ Πανδρόσῳ τιμὰς οἱ Ἀθηναῖοι, Θαλλὼ τὴν θεὸν ὀνομάζοντες.

13 παρακαταθήκη, Ἀγλαύρου ἱερόν] PAVSANIAS *1*, 18, 2 ὑπὲρ δὲ τῶν Διοσκούρων τὸ ἱερὸν Ἀγλαύρου τέμενός ἐστιν. Ἀγλαύρῳ δὲ καὶ ταῖς ἀδελφαῖς Ἕρσῃ καὶ Πανδρόσῳ δοῦναί φασιν Ἀθηνᾶν Ἐριχθόνιον, καταθεῖσαν ἐς κιβωτόν (cf. NONNVS *27*, 116 Ἰνδῴη κεκαλυμμένος αἴθοπι κίστῃ. 321 λάρνακα), ἀπειποῦσαν ἐς τὴν παρακαταθήκην μὴ πολυπραγμονεῖν. Πάνδροσον μὲν δὴ λέγουσι πείθεσθαι, τὰς δὲ δύο, ἀνοῖξαι γὰρ σφᾶς τὴν κιβωτόν, μαίνεσθαί τε ὡς εἶδον τὸν Ἐριχθόνιον καὶ κατὰ τῆς ἀκροπόλεως ἔνθα ἦν μάλιστα ἀπότομον αὑτὰς ῥῖψαι. κατὰ τοῦτο ἐπαναβάντες Μῆδοι κατεφόνευσαν κ. τ. λ. || HERODOTVS *8*, 53 (AA 54) ἀνέβησάν τινες κατὰ τὸ ἱρὸν τῆς Κέκροπος θυγατρὸς Ἀγλαύρου, καίτοι περ ἀποκρήμνου ἐόντος τοῦ χώρου. || POLYAENVS *1*, 21, 2 (AA 31) ἀράμενοι τὰ ὅπλα κατήνεγκαν εἰς τὸ ἱερὸν τῆς Ἀγραύλου. || SCHOL. DEMOSTHENIS *19*, 303 ἱέρεια δὲ γέγονεν ἡ Ἄγραυλος Ἀθηνᾶς, ὥς φησι Φιλόχορος. | Ἄγραυλος καὶ Ἕρση καὶ Πάνδροσος θυγατέρες Κέκροπος, ὥς φησιν ὁ Φιλόχορος. λέγουσι δὲ ὅτι πολέμου συμβάντος παρ' Ἀθηναίοις, ὅτε Εὔμολπος ἐστράτευσε κατὰ Ἐρεχθέως (cf. u. 25 seqq.), καὶ μηκυνομένου τούτου ἔχρησεν ὁ Ἀπόλλων ἀπαλλαγήσεσθαι, ἐάν τις ἀνέλῃ ἑαυτὸν ὑπὲρ τῆς πόλεως. ἡ τοίνυν Ἄγραυλος ἑκοῦσα αὑτὴν ἐπέδωκεν εἰς θάνατον, ἔρριψε γὰρ ἑαυτὴν ἐκ τοῦ τείχους. εἶτα ἀπαλλαγέντες τοῦ πολέμου ἱερὸν ὑπὲρ τούτου ἐστήσαντο αὐτῇ παρὰ τὰ προπύλαια τῆς πόλεως· καὶ ἐκεῖσε ὤμνυον οἱ ἔφηβοι μέλλοντες ἐξιέναι εἰς πόλεμον. (ἐν τῷ τῆς Ἀγλαύρου DEM. *19*, 303. ἐν Ἀγραύλου PLVT. Alcib. 15. POLL. *8*, 105.) | CIA. II, 1369 Ἀγλαύρου ἱέρεα Φειδοστράτη, Ἐτεοκλέους θυγάτηρ Αἰθαλίδου.

Κεκρόπιον (cf. ad tab. XXVII, *H*)] CIA. IV, *2*, 563 *b*, 34 ἀναγράψαι τόδε τὸ ψήφισμα (de ephebis tribus Cecropidis, a. 334/3) ἐν στήληι λιθίνηι καὶ στῆσαι ἐν τῶι τοῦ Κέκροπος ἱερῶι. cf. 563 *d*, II, 1007. || ℎε πρόστασις ℎε πρὸς τôι Κεκροπίοι, ℎε γονία ℎε πρὸς τô Κεκροπίο u. ad c. 26, 27. | AE 20, 10 [νο]τόθεν τ[ô ν]εô ἐντὸς τô Κ[εκροπίο] (supplementum probabile). || CLEMENS ALEX. protrept. 3, 45 ἐν τῷ νεῷ τῆς Ἀθηνᾶς ἐν Λαρίσῃ ἐν τῇ ἀκροπόλει τάφος ἐστὶν Ἀκρισίου, Ἀθήνησι δὲ ἐν τῇ ἀκροπόλει Κέκροπος, ὥς φησιν Ἀντίοχος (fictus) ἐν τῷ ἐνάτῳ τῶν ἱστοριῶν. (EVSEBIVS praep. euang. *2*, 6, 2.) | THEODORETVS Graec. affect. cur. *8*, 30 p. 115 καὶ γὰρ Ἀθήνησιν, ὡς Ἀντίοχος ἐν τῇ ἐνάτῃ γέγραφεν ἱστορίᾳ, ἄνω γε ἐν τῇ ἀκροπόλει Κέκροπός ἐστι τάφος παρὰ τὴν Πολιοῦχον αὐτήν. | ARNOBIVS adu. nat. *6*, 6 *in historiarum Antiochus nono Athenis in Mineruio memorat Cecropem esse mandatum terrae.* || CIA. III, 1276, 8 inter γεννήτας Amynandridarum enumeratur ἱερεὺς Κέκροπος Ἀρίστων Σωσιστράτου Ἀθμονεύς. (cf. 13* HESYCHIVS Ἀμυνανδρίδαι· γένος ἐξ οὗ ἱερεῖς (Κέκροπος add. Ross *Demen* p. 24) Ἀθήνησιν.) 13**

Ἐριχθονίου τάφος] APOLLODORVS *3*, 191 (14, 7, 1) Ἐριχθονίου . . ταφέντος ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς. || CLEMENS ALEX. l. l. τί δὲ Ἐριχθόνιος; οὐχὶ ἐν τῷ νεῷ τῆς Πολιάδος κεκήδευται; (EVSEB. l. l.) | ARNOBIVS l. l. *Erichthonius Poliadis* 15 *in fano* (conditus scribitur).

περίβολοι] AA 20, 9 [νο]τόθεν τô νεô ἐντὸς τô κ[. . . . .]ὰ πᾶν τὸ Ἑκατόμπ[εδ]ον (cf. ad u. 13*). || CIA. IV, *1*, 1, *C* (p. 3), 27 [ἐν περιβ]όλο[ι τε̃ι ὄπισθ]εν τô τε̃ς Ἀθεναία[ς ἀρχαίο νε]ό. (cf. ad c. 26, 25**.) || CIA. I, 93, 6 -- θεν τô νεô τô ἀρχ[αίο]. || VITAE X ORATT. p. 839ᵇ (ex HELIODORO) ἀνάκειται (Isocrates) ἐν ἀκροπόλει χαλκοῦς ἐν τῇ σφαιρίστρᾳ τῶν ἀρρηφόρων κελητίζων ἔτι παῖς ὤν, ὥς εἶπόν 16 τινες.

δρῶσιν ἐν νυκτὶ τοιάδε. ἀναθεῖσαί σφισιν ἐπὶ τὰς κεφαλὰς ἃ ἡ τῆς Ἀθηνᾶς ἱέρεια δίδωσι φέρειν, (27) οὔτε ἡ διδοῦσα ὁποῖόν τι δίδωσιν εἰδυῖα οὔτε ταῖς φερούσαις ἐπισταμέναις — ἔστι δὲ περίβολος ἐν τῇ πόλει τῆς καλουμένης ἐν Κήποις Ἀφροδίτης οὐ πόρρω, καὶ † δι' αὐτοῦ κάθοδος ὑπόγαιος αὐτομάτη· ταύτῃ κατίασιν αἱ παρθένοι ⟨καὶ⟩ κάτω μὲν δὴ τὰ φερόμενα λείπουσιν, λαβοῦσαι δὲ ἄλλο τι κομίζουσιν ἐγκεκαλυμμένον. καὶ τὰς μὲν ἀφιᾶσιν ἤδη τὸ ἐντεῦθεν, ἑτέρας δὲ ἐς τὴν ἀκρόπολιν παρθένους ἄγουσιν ἀντ' αὐτῶν.

Πρὸς δὲ τῷ ναῷ τῆς Ἀθηνᾶς ἔστι μὲν εὐήρης πρεσβῦτις ὅσον τε πήχεος μάλιστα, φαμένη 4
διὰ ⟨τεσσάρων καὶ ἑξήκοντα ἐτῶν τῆς Ἀθηνᾶς διά⟩κονος εἶναι Λυσιμάχη, ἔστι δὲ ἀγάλματα μεγάλα χαλκοῦ, διεστῶτες ἄνδρες ἐς μάχην· καὶ τὸν μὲν Ἐρεχθέα καλοῦσι, τὸν δὲ Εὔμολπον. καίτοι

19 καὶ * * δι' ἄντρου Iahn | 20 καὶ ins. Michaelis | 23 εὐήρης Vat. a: εὐῆρις codices plerique εὐρήρις Leid. a Εὐῆρις Toup ὑπηρέτις V(rlichs) *Philol. Anz.* 1877 p. 418 (uterque Λυσιμάχη) εὐγήρως Benndorf *Athen. Mitth.* 1876 p. 50 εὐήθης Brunn *Ber. d. bayr. Akad.* 1880 p. 483 εὐπρεπὴς BKeil. corruptelae signum adposuit Hitzig | πήχεος Porson: πηχός codices. an τρίπηχυς? cf. ad tab. XXXVIII, 9 | διὰ τεσσάρων καὶ ἑξήκοντα ἐτῶν τῆς Ἀθηνᾶς Benndorf *Athen. Mitth.* 1876 p. 50 (τῆς θεοῦ Michaelis ibid. 1877 p. 33); καὶ τῆς θεοῦ ante διάκονος excidisse iam Kayser suspicatus erat *Jahrb. f. Philol.* 1854 p. 424 | λυσιμάχη codices plerique | 25 ἄνδρες om. codices meliores

16 ἀρρηφόροι] HARPOCRATION ἀρρηφορεῖν· .. τέσσαρες μὲν ἐχειροτονοῦντο δι' εὐγένειαν ἀρρηφόροι, δύο δὲ ἐκρίνοντο αἳ τῆς ὑφῆς τοῦ πέπλου ἦρχον καὶ τῶν ἄλλων τῶν περὶ αὐτόν. λευκὴν δ' ἐσθῆτα ἐφόρουν· εἰ δὲ χρυσία περιέθεντο, ἱερὰ ταῦτα ἐγίνετο. (ETYMOL. M., SVID., ANECD. Bekk. p. 446, 18.) | ANECDOTA Bekk. p. 202, 3 ἀρρηφορεῖν· τὸ λευκὴν (χρυσῆν ETYM. M) ἐσθῆτα φορεῖν καὶ χρυσία. ἦσαν δὲ τέσσαρες παῖδες, χειροτονητοὶ κατ' εὐγένειαν, ἀρρηφόροι ἀπὸ τῶν ἑπτὰ μέχρι ἕνδεκα. || SVIDAS ἐπιώψατο· . . . "ὁ βασιλεὺς ἐπιώψατο ἀρρηφόρους" οἷον κατέλεξεν, ἐξελέξατο. Πλάτων ἐν Νόμοις (cf. *12*, p. 947 C. ETYM. M. ἐπιόψομαι. CIA. II, 948). || SVIDAS Χαλκεῖα· (ad c. 24, 15*) . . ἔστι δὲ ἕνη καὶ νέα τοῦ Πυανεψιῶνος, ἐν ᾗ καὶ ⟨αἱ⟩ ἱέρειαι μετὰ τῶν ἀρρηφόρων τὸν πέπλον διάζονται. (ETYM. M., cf. SCHOL. EVRIP. Hec. 467 οὐ μόνον παρθένοι ὕφαινον, ὥς φησιν Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν, ἀλλὰ καὶ τέλειαι γυναῖκες, ὡς Φερεκράτης ἐν Δουλοδιδασκάλῳ.) || CIA. IV, *2*, 477. 477 *d* (ineunt. saec. I) τῶν παρθένων τῶν ἠργασμένων τῆι Ἀθηνᾶι τὰ ἔρια τὰ εἰς τὸν πέπλον, quae numerum centenarium excessisse uidentur (cf. HESYCHIVS ἐργαστῖναι· αἱ τὸν πέπλον ὑφαίνουσαι). | ἠρρηφόρουν aut Ἀθηνᾶι (CIA. II, 1379. 1380. 1384. 1385. 1392) siue Ἀθηνᾶι Πολιάδι (II, 1391. III, 916—918) aut Ἀθηνᾶι Πολιάδι (siue Ἀθηνᾶι II, 1383) καὶ Πανδρόσωι (II, 1390. III, 887). || ARISTOPHANES Lysistr. 641 Ἑπτὰ μὲν ἔτη γεγῶσ' εὐθὺς ἠρρηφόρουν. | SCHOLION οἳ μὲν διὰ τὸ ā ἀρρηφορία, ἐπειδὴ τὰ ἄρρητα ἐν κίσταις ἔφερον τῇ θεῷ αἱ παρθένοι, οἳ δὲ διὰ τοῦ ē ἐρσεφορία· τῇ γὰρ Ἕρσῃ πομπεύουσι τῇ Κέκροπος θυγατρί, ὡς ἱστορεῖ Ἴστρος. (SVIDAS ἀρρηφορία. cf. HESYCH. ἀρρηφορία.) || HESYCHIVS ἐρρηφόροι· οἱ τῇ Ἕρσῃ ἐπιτελοῦντες τὰ νομιζόμενα. | MOERIS p. 195 ἐρρηφόροι Ἀττικοί, αἱ τὴν δρόσον φέρουσαι τῇ Ἕρσῃ, ἥτις ἦν μία τῶν Κεκροπίδων. || ἐρρηφορεῖν ad sacra Poliadis relatum sollemne est in titulis Atticis aetate Romana antiquioribus (ἀρρηφορεῖν CIA. II, 453 *b*, p. 418, ad Epidauria spectat), postea aut idem aut rarissime ἀρρηφορεῖν (CIA. III, 822 *a*, p. 505, cf. LYSIAS *21*, 5) dicitur, quae forma apud grammaticos praeualuit; ἐρσηφορεῖν non ad Poliadis sacra pertinet (AE 2, 318. 319). || ATHENAEVS *3*, 80 p. 114a οὐχ ἑώρακε δὲ οὐδὲ τὸν ἀνάστατον καλούμενον, ὃς ταῖς ἀρρηφόροις γίνεται. | SVIDAS ἀνάστατοι· πλακοῦντος εἶδος. οὗτοι δὲ αὐταῖς ταῖς ἀρρηφόροις ἐγίνοντο.

τῆς ἑορτῆς] ETYMOL. M. ἀρρηφόροι καὶ 16*
Ἀρρηφορία, ἑορτὴ ἐπιτελουμένη τῇ Ἀθηνᾷ ἐν Σκιροφοριῶνι μηνί . . . παρὰ τὸ ἄρρητα καὶ μυστήρια φέρειν. || HESYCHIVS ἀρρηφόρος· μυσταγωγός. || Cf. SVIDAS Βουφόνια. ἑορτὴ παλαιά, ἥν φασιν ἄγεσθαι μετὰ τὰ μυστήρια (d. XIV m. Scirophorionis, cf. ad c. 24, 26).

Λυσιμάχη] PLINIVS *34*, 76 *Demetrius Lysi-* 24
machen (fecit), *quae sacerdos Mineruae fuit LXIIII annis.* || CIA. II, 1376, cuius partem sic fere suppleueris -- [Ἕν τε καὶ ὀγδώκοντ' ἐξ]επέρα[σ](σ)εν ἔτη [Ἁγνῶς, ἑξήκο]ντα δ' ἔτη [κα]ὶ τέσσαρ[α Ἀ]θάναι [Ζάκορος οὖσα γένη] τέσσαρ' ἐπεῖδε τέκνων. [Λυσιμάχη -- κλ]έος Φλυέως μήτηρ. [Δημήτριος ἐπό]ησεν. at cf. ad tab. XXXVIII, 9. || DIOGENES LAERTIVS *5*, 85 πέμπτος (Δημήτριος) ἀνδριαντοποιός, οὗ μέμνηται Πολέμων. || PLVTARCHVS de uit. pud. 14 Λυσιμάχη Ἀθήνησιν, ἡ τῆς Πολιάδος ἱέρεια, τῶν τὰ ἱερὰ (ἱερεῖα Iahn) προσαγαγόντων ὀρεωκόμων ἐγχέαι κελευόντων "ἀλλ' ὀκνῶ" εἶπε "μὴ καὶ τοῦτο πάτριον γένηται".

Ἐρεχθεύς] PAVSANIAS *9*, 30 1 τὸ ἄγαλμα . . 25
τοῦ Διονύσου τὸ ὀρθόν, ἔργον τῶν Μύρωνος θέας μάλιστα ἄξιον μετά γε τὸν Ἀθήνησιν Ἐρεχθέα. (cf.

(27) λέληθέ γε οὐδένα Ἀθηναίων ὅσοι τὰ ἀρχαῖα ἴσασιν, Ἰμμάραδον εἶναι παῖδα Εὐμόλπου τοῦτον τὸν ἀποθανόντα ὑπὸ Ἐρεχθέως.

5 Ἐπὶ δὲ τοῦ βάθρου καὶ ἀνδριάντες εἰσὶν, Θεαίνετος ὃς ἐμαντεύετο Τολμίδῃ, καὶ αὐτὸς Τολμίδης, ὃς Ἀθηναίων ναυσὶν ἡγούμενος ἄλλους τε ἐκάκωσε καὶ Πελοποννησίων τὴν χώραν, ὅσοι νέμονται τὴν παραλίαν, καὶ Λακεδαιμονίων ἐπὶ Γυθείῳ τὰ νεώρια ἐνέπρησε, καὶ τῶν περιοίκων Βοιὰς εἷλε καὶ τὴν Κυθηρίων νῆσον, ἐς δὲ τὴν Σικυωνίαν ποιησάμενος ἀπόβασιν, ὥς οἱ δῃοῦντι τὴν γῆν ἐς μάχην κατέστησαν, τρεψάμενος σφᾶς κατεδίωξε πρὸς τὴν πόλιν. ὕστερον δὲ ὡς ἐπανῆλθεν ἐς Ἀθήνας, ἐσήγαγε μὲν ἐς Εὔβοιαν καὶ Νάξον Ἀθηναίων κληρούχους, ἐσέβαλε δὲ ἐς Βοιωτοὺς στρατῷ· πορθήσας δὲ τῆς γῆς τὴν πολλὴν καὶ παραστησάμενος πολιορκίᾳ Χαιρώνειαν, ὡς ἐς τὴν Ἁλιαρτίαν προῆλθεν, αὐτός τε μαχόμενος ἀπέθανε καὶ τὸ πᾶν ἤδη στράτευμα ἡττᾶτο. τὰ μὲν ἐς Τολμίδην τοιαῦτα ἐπυνθανόμην ὄντα.

6 Ἔστι δὲ Ἀθηνᾶς ἀγάλματα ἀρχαῖα· καί σφισιν ἀπετάκη μὲν οὐδέν, μελάντερα δὲ καὶ πληγὴν ἐνεγκεῖν ἐστὶν ἀσθενέστερα· ἐπέλαβε γὰρ καὶ ταῦτα ἡ φλόξ, ὅτε ἐσβεβηκότων ἐς τὰς ναῦς Ἀθηναίων βασιλεὺς εἷλεν ἔρημον τῶν ἐν ἡλικίᾳ τὴν πόλιν.

Ἔστι δὲ συός τε θήρα, περὶ οὗ σαφὲς οὐδὲν οἶδα εἰ τοῦ Καλυδωνίου, καὶ Κύκνος Ἡρακλεῖ μαχόμενος. τοῦτον τὸν Κύκνον φασὶν ἄλλους τε φονεῦσαι καὶ Λύκον Θρᾷκα, προτεθέντων σφίσι μονομαχίας ἄθλων· περὶ δὲ τὸν ποταμὸν τὸν Πηνειὸν ἀπέθανεν ὑφ' Ἡρακλέους.

7 Τῶν δὲ ἐν Τροιζῆνι λόγων, οὓς ἐς Θησέα λέγουσιν, ἐστὶν ὡς Ἡρακλῆς ἐς Τροιζῆνα ἐλθὼν παρὰ Πιτθέα κατάθοιτο ἐπὶ τῷ δείπνῳ τοῦ λέοντος τὸ δέρμα, ἐσέλθοιεν δὲ παρ' αὐτὸν ἄλλοι τε Τροιζηνίων παῖδες καὶ Θησεὺς ἕβδομον μάλιστα γεγονὼς ἔτος. τοὺς μὲν δὴ λοιποὺς παῖδας, ὡς τὸ δέρμα εἶδον, φεύγοντάς φασιν οἴχεσθαι, Θησέα δὲ ὑπεξελθόντα οὐκ ἄγαν σύν φόβῳ παρὰ τῶν διακόνων ἁρπάσαι πέλεκυν καὶ αὐτίκα ἐπιέναι σπουδῇ, λέοντα εἶναι τὸ δέρμα ἡγούμενον. ὅδε μὲν τῶν λόγων πρῶτος ἐς αὐτόν ἐστι Τροιζηνίοις· ὁ δὲ ἐπὶ τούτῳ, κρηπῖδας Αἰγέα ὑπὸ πέτρᾳ καὶ ξίφος θεῖναι γνωρίσματα εἶναι τῷ παιδί, καὶ τὸν μὲν ἐς Ἀθήνας ἀποπλεῖν, Θησέα δέ, ὡς ἕκτον

26 οὐδένα Porson: οὐδὲ codices | τοῦτον del. Schubart et Walz | 28 post βάθρου lacunam indicauit Iahn τοῦ ⟨αὐτοῦ⟩ βάθρου Hitzig | Θεαίνετος Elsner schediasm. crit. p. 58: ἐντὸς codices plerique Αἴνετος Schubart et Walz Τάραντος Beulé *Acrop. d'Ath.* II p. 297 μάντεως Lobeck ind. lect. Regiom. a. 1816 μάντις COMuellerus Min. Pol. sacr. p. 32 | ὃς Kuhn: οἷς codices | 30 Γυθείῳ Dindorf: γυθίῳ codices | Βοιὰς Clauerius: εὐβοίας codices | 42 τὸν ante Πηνειὸν del. Porson

PAVSANIAS *1*, 5, 2 Ἐρεχθεύς ἐστιν ἐν τοῖς ἐπωνύμοις, ὃς ἐνίκησεν Ἐλευσινίους μάχῃ καὶ τὸν ἡγούμενον ἀπέκτεινεν Ἰμμάραδον τὸν Εὐμόλπου.)

25* Εὔμολπος] PAVSANIAS *1*, 38, 3 γενομένης Ἐλευσινίοις μάχης πρὸς Ἀθηναίους ἀπέθανε μὲν Ἐρεχθεὺς Ἀθηναίων βασιλεύς, ἀπέθανε δὲ Ἰμμάραδος Εὐμόλπου. (cf. ad u. 25). || APOLLODORVS *3*, 204 (15, 4, 5) γενομένης μετὰ τὴν σφαγὴν τῆς μάχης Ἐρεχθεὺς μὲν ἀνεῖλεν Εὔμολπον. (cf. ad u. 13.) || Cf. EVRIPIDES Erechthei fr. 363, 46 (apud Lycurgum Leocr. 100) Οὐδ' ἀντ' ἐλάας χρυσέας τε Γοργόνος Τρίαιναν ὀρθὴν στᾶσαν ἐν πόλεως βάθροις Εὔμολπος οὐδὲ Θρᾷξ ἀναστέψει λεὼς Στεφάνοισι, Παλλὰς δ' οὐδαμοῦ τιμήσεται.

28 Θεαίνετος] THVCYDIDES *3*, 20 ἐπιβουλεύουσιν αὐτοί τε (Plataeenses, a. 428) καὶ Ἀθηναίων οἱ ξυμπολιορκούμενοι πρῶτον μὲν πάντες ἐξελθεῖν καὶ ὑπερβῆναι τὰ τείχη τῶν πολεμίων, ἢν δύνωνται βιάσασθαι, ἐσηγησαμένου τὴν πεῖραν αὐτοῖς Θεαινέτου τε τοῦ Τολμίδου, ἀνδρὸς μάντεως, καὶ Εὐπομπίδου . . . 23 ἐγένετο δὲ ἡ διάφευξις αὐτοῖς.

ἀπέθανε] PAVSANIAS *1*, 29, 14 Τολμίδου 35
καὶ τῶν σὺν αὐτῷ δεδήλωται μὲν ἤδη μοι τὰ ἔργα καὶ ὃν τρόπον ἐτελεύτησαν· ἴστω δὲ ὅτῳ φίλον κειμένους σφᾶς κατὰ τὴν ὁδὸν ταύτην (sacram siue Eleusiniam).

Πηνειόν] HESIODVS scut. 477 Τοῦ δὲ τάφον 40
καὶ σῆμ' ἀιδὲς ποίησεν Ἄναυρος Ὄμβρῳ χειμερίῳ πλήθων, coni. 380 Πᾶσα δὲ Μυρμιδόνων τε πόλις κλειτή τ' Ἰαωλκὸς Ἄρνη τ' ἠδ' Ἑλίκη Ἄνθειά τε ποιήεσσα. | NICOLAVS DAMASC. fr. 55 ἐν Ἰτώνῳ τῆς Ἀχαίας. APOLLODORVS *2*, 155 (7, 7, 4) παριόντα Ἴτωνον. DIODORVS *4*, 37 ἐκ τῆς Ἰτώνου πορευόμενος. || APOLLODORVS *2*, 114 (5, 11, 3) ἐπὶ ποταμὸν Ἐχέδωρον.

καὶ δέκατον ἔτος ἐγεγόνει, τὴν πέτραν ἀνώσαντα οἴχεσθαι [καὶ] τὴν παρακαταθήκην τὴν Αἰγέως (27) φέροντα. τούτου δὲ εἰκὼν ἐν ἀκροπόλει πεποίηται τοῦ λόγου, χαλκοῦ πάντα ὁμοίως πλὴν τῆς πέτρας.

Ἀνέθεσαν δὲ καὶ ἄλλο Θησέως ἔργον, καὶ ὁ λόγος οὕτως ἐς αὐτὸ ἔχει. Κρησὶ τήν τε 9 ἄλλην γῆν καὶ τὴν ἐπὶ ποταμῷ Τεθρίνι ταῦρος ἐλυμαίνετο. πάλαι δὲ ἄρα τὰ θηρία φοβερώτερα ἦν τοῖς ἀνθρώποις, ὡς ὅ τ' ἐν Νεμέᾳ λέων καὶ ὁ Παρνάσιος, καὶ δράκοντες τῆς Ἑλλάδος πολλαχοῦ, καὶ ὗς περί τε Καλυδῶνα καὶ Ἐρύμανθον καὶ τῆς Κορινθίας ἐν Κρομμυῶνι, ὥστε καὶ ἐλέγετο τὰ μὲν ἀνιέναι τὴν γῆν, τὰ δὲ ὡς ἱερὰ εἴη θεῶν, τὰ δὲ καὶ ἐς τιμωρίαν ἀνθρώπων ἀφεῖσθαι. καὶ τοῦτον οἱ Κρῆτες τὸν ταῦρον ἐς τὴν γῆν πέμψαι σφίσι Ποσειδῶνά φασίν, ὅτι θαλάσσης ἄρχων Μίνως τῆς Ἑλληνικῆς οὐδενὸς Ποσειδῶνα ἦγεν ἄλλου θεοῦ μᾶλλον ἐν τιμῇ. κομισθῆναι μὲν δὴ τὸν ταῦρον τοῦτόν φασιν ἐς Πελοπόννησον ἐκ Κρήτης, καὶ Ἡρακλεῖ τῶν 10 δώδεκα καλουμένων ἕνα καὶ τοῦτον γενέσθαι τὸν ἆθλον· ὡς δὲ ἐς τὸ πεδίον ἀφείθη τὸ Ἀργείων, φεύγει διὰ τοῦ Κορινθίου ἰσθμοῦ, φεύγει δὲ ἐς γῆν τὴν Ἀττικὴν καὶ τῆς Ἀττικῆς ἐς δῆμον τὸν Μαραθωνίων, καὶ ἄλλους τε ὁπόσοις ἐπέτυχε καὶ Μίνω παῖδα Ἀνδρόγεων ἀπέκτεινε. Μίνως δὲ ναυσίν ἐπ' Ἀθήνας πλεύσας (οὐ γὰρ ἐπείθετο ἀναιτίους εἶναι σφᾶς τῆς Ἀνδρόγεω τελευτῆς) ἐς τοσοῦτον ἐκάκωσεν, ἐς ὃ συνεχωρήθη οἱ παρθένους ἐς Κρήτην ἑπτὰ καὶ παῖδας ἴσους ἄγειν τῷ λεγομένῳ Μίνω ταύρῳ τὸν ἐν Κνωσσῷ λαβύρινθον οἰκῆσαι. τὸν δὲ ἐν τῷ Μαραθῶνι ταῦρον ὕστερον Θησεὺς ἐς τὴν ἀκρόπολιν ἐλάσαι καὶ θῦσαι λέγεται τῇ θεῷ, καὶ τὸ ἀνάθημά ἐστι τοῦ δήμου τοῦ Μαραθωνίων.

Κύλωνα δὲ οὐδὲν ἔχω σαφὲς εἰπεῖν ἐφ' ὅτῳ χαλκοῦν ἀνέθεσαν τυραννίδα ὅμως βουλεύ- 28 σαντα, τεκμαίρομαι δὲ τῶνδε ἕνεκα, ὅτι εἶδος κάλλιστος καὶ τὰ ἐς δόξαν ἐγένετο οὐκ ἀφανής,

50 καὶ del. Clauerius *** καὶ Iahn ἐκεῖσε Wieseler p. 333 καὶ ⟨αὐτὸν⟩ Michaelis | 55 χαραδραῖος uel potius Περμήσιος CFHermann *Philol.* III p. 517 (immo Τερμήσιος cf. Paus. *9*, 29, 5) Τευμήσιος uel Παρνήθιος Wieseler p. 334. 440. καὶ ὁ Παρνάσιος post Κρομμυῶνι u. 56 transponunt Hitzig et Bluemner p. 299 | 56 Κρομυῶνι Siebelis | 57 ἀνεῖναι Siebelis | 63 ὁπόσοις Sylburg: ὁπόσους codices | 64 ἐς Ἀθήνας codices plerique | 66 Μίνω ταύρῳ Michaelis *Athen. Mittheil.* 1877 p. 1: μινωταύρῳ codices | κνωσῷ Vind. a | οἰκήσαντι Kuhn

50 Θησεὺς τὴν πέτραν ἀνώσας] cf. tab. XXXV, 22.

55 Παρνάσιος] HOMERVS τ 432 Παρνησοῦ. 439 ἔνθα δ' ἄρ' ἐν λόχμῃ πυκινῇ κατέκειτο μέγας σῦς. || PAVSANIAS *1*, 41, 3 τὸν Κιθαιρώνιον λέοντα (Alcathous occidit). | APOLLODORVS *2*, 65 (4, 9, 5) τὸν Κιθαιρώνιον ἀνεῖλε λέοντα (Hercules). οὗτος γὰρ ὁρμώμενος ἐκ τοῦ Κιθαιρῶνος τὰς Ἀμφιτρύωνος ἔφθειρε βόας καὶ τὰς Θεσπίου. || SVIDAS χαραδραῖος λέων· ὁ παρὰ ταῖς χαράδραις. εἰ μὴ τὸν Θεσπιακὸν λέγει, ὃν πρῶτον ἀνεῖλεν Ἡρακλῆς ἐν Θεσπιαῖς, Χαράδρα δὲ καλεῖται ὁ τόπος ἐκεῖνος. || SCHOLION THEOCR. *13*, 6 ἱστορεῖται γ' λέοντας ὑφ' Ἡρακλέους διαφθαρῆναι, τὸν Ἑλικώνιον, τὸν Λέσβιον, τὸν Νεμεαῖον. | PTOLEMAEVS HEPHAEST. *2* p. 184 West. Νιρεὺς ὁ Συμαῖος Ἡρακλέους ἦν ἐρώμενος καὶ συγκατειργάσατο τὸν Ἑλικώνιον λέοντα. | SCHOLION BT HOM. Β 507 ἡ Λεοντάρνη ἡ ὑπὸ τὸν Ἑλικῶνα, ἀπὸ τοῦ αὐτόθι λέοντος. || MYTHOGRAPHVS VAT. II, 160 *Hercules duos leones superauit, unum Teumesium, alterum Cleonaeum.* | STATIVS Theb. 4, 85 *Teumesius leo.* *1*, 485 *per Teumesia tempe Amphitryoniades fractum . . .*

Θησεὺς τὸν ἐν τῷ Μαραθῶνι ταῦρον ἐλάσας] cf. tab. XXXV, 22. 66

Κύλων] HERODOTVS *5*, 71 (AA 24) ἦν Κύλων τῶν Ἀθηναίων ἀνὴρ Ὀλυμπιονίκης. οὗτος ἐπὶ τυραννίδι ἐκόμησε, προσποιησάμενος δὲ ἑταιρηίην τῶν ἡλικιωτέων καταλαβεῖν τὴν ἀκρόπολιν ἐπειρήθη, οὐ δυνάμενος δὲ ἐπικρατῆσαι ἱκέτης ἵζετο πρὸς τὤγαλμα. || THVCYDIDES *1*, 126 Κύλων ἦν Ὀλυμπιονίκης, ἀνὴρ Ἀθηναῖος τῶν πάλαι, εὐγενής τε καὶ δυνατός· ἐγεγαμήκει δὲ θυγατέρα Θεαγένους Μεγαρέως ἀνδρός, ὃς κατ' ἐκεῖνον τὸν χρόνον ἐτυράννει Μεγάρων. (AA 25). 127 τοῦτο τὸ ἄγος οἱ Λακεδαιμόνιοι ἐκέλευον ἐλαύνειν . . . . 128 ἀντεκέλευον δὲ καὶ οἱ Ἀθηναῖοι τοὺς Λακεδαιμονίους . . τὸ τῆς Χαλκιοίκου ἄγος ἐλαύνειν . . . 134 ὁ δὲ θεὸς ὁ ἐν Δελφοῖς . . ἔχρησε . . ὡς ἄγος αὐτοῖς ὂν τὸ πεπραγμένον (Pausaniae necem) δύο σώματα ἀνθ' ἑνὸς τῇ Χαλκιοίκῳ ἀποδοῦναι· οἱ δὲ ποιησάμενοι χαλκοῦς ἀνδριάντας δύο ὡς ἀντὶ Παυσανίου ἀνέθεσαν. (cf. PAVS. *3*, 17, 7.) 1

(28) ἀνελόμενος διαύλου νίκην Ὀλυμπικήν, καί οἱ θυγατέρα ὑπῆρξε γῆμαι Θεαγένους, ὃς Μεγάρων ἐτυράννησε.

2 Χωρὶς δὲ ἢ ὅσα κατέλεξα δύο μὲν Ἀθηναίοις εἰσὶ δεκάται πολεμήσασιν, ἄγαλμα Ἀθηνᾶς

5 ἢ Bekker: γε codices πλὴν Wieseler p. 335

3 διαύλου νίκην Ὀλυμπικήν] EVSEBIVS ad Ol. 35 (640) Σφαῖρος Λάκων στάδιον, καὶ δίαυλον Κύλων Ἀθηναῖος ὁ ἐπιθέμενος τυραννίδι.

5 τρία ἀγάλματα Ἀθηνᾶς] SCHOL. ARISTIDIS III p. 657 D. τρία ἦσαν ἀγάλματα τῆς Ἀθηνᾶς Ἀθήνησι, τὸ ἀριστεῖον (DEM. *19*, 272, ad u. 5*), ἡ Παρθένος (c. 24, 35), τὸ τῆς Πολιούχου (c. 26, 36). | IDEM III p. 320 τρία ἦσαν ἀγάλματα ἐν ἀκροπόλει τῆς Ἀθηνᾶς, ἓν μὲν τὸ ἀρχαῖον καὶ διιπετές, ἕτερον τὸ χαλκοῦν ὃ ⟨ἀν⟩έθεσαν μετὰ τὸν Περσικὸν πόλεμον, τρίτον τὸ Φειδίου τὸ ἐκ χρυσοῦ καὶ ἐλέφαντος κατεσκευασμένον. | ἦσαν τῆς Ἀθηνᾶς ἐν ἀκροπόλει τρία ἀγάλματα, τὸ μὲν ἓν χαλκοῦν, ὃ μετὰ τὰ Περσικὰ Ἀθηναῖοι ἔστησαν, τὸ δὲ ἕτερον ἐκ χρυσοῦ καὶ ἐλέφαντος, παριστῶντα ἄμφω τέχνην ὑπερφυῆ· κατεσκεύασε δὲ τὸ μὲν Φειδίας, τὸ δὲ χαλκοῦν Πραξιτέλης. καὶ τὰ μὲν ἐκ τέχνης ταῦτα, ἵστατο δὲ πρὸ τούτων ἕτερον διοπετές (ad c. 26, 36*). | SCHOL. DEMOSTHENIS *22*, 13 τρία ἀγάλματα ἦν ἐν τῇ ἀκροπόλει τῆς Ἀθηνᾶς ἐν διαφόροις τόποις, ἓν μὲν ἐξ ἀρχῆς γενόμενον ἐξ ἐλαίας (ad c. 26, 36) δεύτερον δὲ τὸ ἀπὸ χαλκοῦ μόνον, ὅπερ ἐποίησαν⟨το⟩ νικήσαντες [οἱ] ἐν Μαραθῶνι· ἐκαλεῖτο δὲ τοῦτο Προμάχου Ἀθηνᾶς (cf. ad c. 27, 8**). τρίτον ἐποιήσαντο ἐκ χρυσοῦ καὶ ἐλέφαντος (ad c. 24, 35**). || SCHOL. DEMOSTH. *3*, 25 (ad c. 22, 19*) ἀπὸ τῶν λαφύρων τῶν Περσικῶν .. κατεσκεύασαν καὶ τὴν χαλκῆν Ἀθηνᾶν καὶ τὴν ἐκ χρυσοῦ καὶ ἐλέφαντος. || ARISTIDES *34*, 28 (*50* p. 556 D.) ἡ Ἀθήνησιν Ἀθηνᾶ, λέγω τοῦτο μὲν τὴν ἐλεφαντίνην, τοῦτο δ' εἰ βούλει τὴν χαλκῆν, καὶ νὴ Δία γ' εἰ βούλει τὴν Λημνίαν (u. 12), ἅπαντα ταῦτα ὑπερβολὴν μὲν ἀρετῆς τῷ δημιουργῷ, τοῖς δὲ θεαταῖς ἡδονῆς ἔχει. || OVIDIVS ex Ponto *4*, 1, 31 *arcis ut Actaeae uel eburna uel aerea custos Bellica Phidiaca stat dea facta manu.*

5* ἄγαλμα Ἀθηνᾶς χαλκοῦν (tab. XXXV, 4. XXXVIII, 1. p. 89)] MAXIMVS TYR. diss. 14, 6 εἰ τοιαύτην ἡγεῖ τὴν Ἀθηνᾶν οἵαν Φειδίας ἐδημιούργησεν, οὐδὲν τῶν Ὁμήρου ἐπῶν φαυλοτέραν, παρθένον καλήν, γλαυκῶπιν, ὑψηλήν, αἰγίδα ἀνεζωσμένην, κόρυν φέρουσαν, δόρυ ἔχουσαν (ἀνέχουσαν Boettiger *Andeut.* p. 88), ἀσπίδα † ἔχουσαν (κατέχουσαν Boettiger. ἔχουσαν male repetitum aliud uocabulum uelut κρατοῦσαν loco suo mouisse uidetur). || PAVSANIAS *9*, 4, 1 μέγεθος μὲν (Mineruae Areae apud Plataeenses) οὐ πολὺ δή τι ἀποδεῖ τῆς ἐν ἀκροπόλει χαλκῆς, ἣν καὶ αὐτὴν Ἀθηναῖοι τοῦ Μαραθῶνι ἀπαρχὴν ἀγῶνος ἀνέθηκαν· Φειδίας δὲ καὶ Πλαταιεῦσιν ἦν ὁ τῆς Ἀθηνᾶς τὸ ἄγαλμα ποιήσας. | IDEM *7*, 27, 2 Φειδίαν δὲ εἶναι τὸν εἰργασμένον (Mineruae signum apud Pellenenses) φασί, πρότερον ἔτι ἢ ἐν τῇ ἀκροπόλει τε αὐτὸν τῇ Ἀθηναίων καὶ ἐν Πλαταιαῖς ποιῆσαι τῆς Ἀθηνᾶς τὰ ἀγάλματα. || PLINIVS *34*, 54 *Phidias .. fecit .. ex aere .. Mineruam ... fecit et cliduchum, et aliam Mineruam ..., item duo signa .. palliata, et alterum colossicon nudum.* || DEMOSTHENES *19*, 271 ἀκούετε .. τῶν γραμμάτων λεγόντων Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην ἐχθρὸν εἶναι καὶ πολέμιον τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῶν συμμάχων αὐτὸν καὶ γένος πᾶν. διὰ τί; ὅτι τὸν χρυσὸν τὸν ἐκ τῶν βαρβάρων εἰς τοὺς Ἕλληνας ἤγαγεν. (IDEM *9*, 42 εἰς Πελοπόννησον (cf. DINARCHVS *2*, 25). 43 εἰς Πελοπόννησον, οὐκ Ἀθήναζε.) . . . (272) νὴ Δί', ἀλλ' ὅπως ἔτυχε, ταῦτα τὰ γράμμαθ' ἕστηκεν. ἀλλ' ὅλης οὔσης ἱερᾶς τῆς ἀκροπόλεως ταυτησὶ καὶ πολλὴν εὐρυχωρίαν ἐχούσης, παρὰ τὴν χαλκῆν τὴν μεγάλην Ἀθηνᾶν ἐκ δεξιᾶς ἕστηκεν, ἣν ἀριστεῖον ἡ πόλις τοῦ πρὸς τοὺς βαρβάρους πολέμου, δόντων τῶν Ἑλλήνων τὰ χρήματα ταῦτ', ἀνέθηκεν . . . τῆς αὐτῆς ἠξιοῦτο στάσεως τό τε ἀριστεῖον τῆς θεοῦ καὶ αἱ κατὰ τῶν τὰ τοιαῦτ' ἀδικούντων τιμωρίαι. | cf. IDEM *9*, 41 γράμματα τῶν προγόνων τῶν ὑμετέρων δεικνύων, ἁκεῖνοι κατέθεντο εἰς στήλην χαλκῆν γράψαντες εἰς ἀκρόπολιν. || ARISTIDES *46* p. 288 D. ταύτην τὴν στήλην καθιέρωσαν Ἀθηναῖοι τῇ θεῷ, παραστήσαντες τῷ ἀγάλματι τῷ Μαραθωνόθεν. | SCHOLION III p. 657 D. τοῦτο λέγει ἢ ὅτι ἐν Μαραθῶνι ἱστάμενον ἄγαλμα Ἀθηνᾶς ἔφερον εἰς ἀκρόπολιν, ἢ τὸ Μαραθωνόθεν νοεῖ τὸ ἐκ τῆς ἐν Μαραθῶνι νίκης παρ' Ἀθηναίων ἀνεγερθὲν τῇ θεῷ. || DINARCHVS *2*, 24 καλῶς οἱ πρόγονοι περὶ τούτων ψηφισάμενοι στήλην εἰς ἀκρόπολιν ἀνήνεγκαν, ὅτε φασὶν Ἄρθμιον .. κομίσαι τὸ χρυσίον ἐκ Μήδων ἐπὶ διαφθορᾷ τῶν Ἑλλήνων . . . καὶ ταῦθ', ὥσπερ εἶπον, εἰς τὴν ἀκρόπολιν εἰς στήλην χαλκῆν γράψαντες ἀνέθεσαν. || Cf. HIMERIVS or. *3*, 13 τὸν κολωνὸν τῆς Παλλάδος, ὅθεν ἡ θεὸς ἐποπτεύει τήν τε πανήγυριν οἶμαι καὶ τὴν πᾶσαν ἱερομηνίαν. | IVLIANVS anth. Pal. app. Plan. 157 Τίπτε, Τριτογένεια, κορύσσεαι ἄστει μέσσῳ; Εἶξε Ποσειδάων· φείδεο Κεκροπίης.

5** colossicon Mineruae Lindiae Constantinopolitanum] CEDRENVS hist. comp. I p. 565 ed. Bk.

χαλκοῦν ἀπὸ Μήδων τῶν ἐς Μαραθῶνα ἀποβάντων, τέχνη Φειδίου· καί οἱ τὴν ἐπὶ τῆς ἀσπίδος (28) Λαπιθῶν πρὸς Κενταύρους ⟨μάχην⟩ καὶ ὅσα ἄλλα ἐστὶν ἐπειργασμένα λέγουσι τορεῦσαι Μῦν, τῷ δὲ Μυὶ ταῦτά τε καὶ τὰ λοιπὰ τῶν ἔργων Παρράσιον καταγράψαι τὸν Εὐήνορος. ταύτης τῆς Ἀθηνᾶς ἡ τοῦ δόρατος αἰχμὴ καὶ ὁ λόφος τοῦ κράνους ἀπὸ Σουνίου προσπλέουσίν ἐστιν ἤδη σύνοπτα. καὶ ἅρμα κεῖται χαλκοῦν ἀπὸ Βοιωτῶν δεκάτη καὶ Χαλκιδέων τῶν ἐν Εὐβοίᾳ.

7 μάχην post Κενταύρους add. Clauerius, post ἀσπίδος Parisini 1399 manus recentior. τὴν ⟨μάχην τὴν⟩ ἐπὶ Wieseler p. 335 | 8 Πηράσιον Sillig catal. artiff. p. 289 | 9 post ἤδη nonnulla excidisse putat Wieseler p. 335

ἵστανται (a. 462) πρὸς τὴν τοῦ φόρου (Constantini) πλατεῖαν ἀγάλματα δύο, πρὸς μὲν δύσιν τὸ τῆς Λινδίας Ἀθηνᾶς, κράνος ἔχον καὶ τὸ Γοργόνειον τέρας καὶ ὄφεις περὶ τὸν τράχηλον ἐμπεπλεγμένους . ., πρὸς δὲ τὴν ἀνατολὴν ἡ Ἀμφιτρίτη, χηλὰς ἔχουσα καρκίνου ἐπὶ τῶν κροτάφων· ἤχθη δὲ καὶ αὕτη ἀπὸ Ῥόδου. | CONSTANTINVS RHODIVS (931/44) de eadem statua (*Rev. des études gr.* 1898 p. 41) u. 153 Ἡ δ' αὖ γε χαλκῆ καλλιπάρθενος κόρη, Ἥτις ὕπερθεν κίονος μακροῦ πέλει Τὴν χεῖρ' ἐπεκτείνουσα πρὸς τὸν ἀέρα, Παλλάδος εἰκών ἐστι Λινδίων πλάνης . . . Δηλοῖ δὲ κράνος καὶ τὸ Γόργειον τέρας, Ὄφεις τε πρὸς τράχηλον ἐμπεπλεγμένοι. (cf. ZOSIMVS *5*, 24 p. 281 Bk. τῆς γερουσίας τὸ τέμενος (in Augusteo) . . Διὸς καὶ Ἀθηνᾶς ἀγάλματα πρὸ τῶν θυρῶν εἶχεν ἐπί τινων βάσεων λιθίνων ἑστῶτα, καθ' ὃ καὶ νῦν ἔστιν αὐτὰ θεάσασθαι σχῆμα· φασὶ δὲ τὸ μὲν τοῦ Διὸς εἶναι τοῦ Δωδωναίου, τὸ δὲ τὸ ἐν τῇ Λίνδῳ πάλαι καθιδρυμένον.) || SCHOLION ARETHAE ad ARISTID. *34*, 28 (u. ad u. 5) χαλκῆν adscriptum secundum Arethae cod. Laurent. 60, 3 scriptum a. 917 (cf. II p. 710 D. secundum cod. Vat. 1298): δοκῶ μοι αὕτη ἐστὶν ἡ ἐν τῷ Κωνσταντίνου φόρῳ ἀνακειμένη πρὸς τοῖς προπυλαίοις τοῦ βουλευτηρίου, ὃ σενάτον φασὶν νῦν· ἧς ἀντικρὺ ἐν δεξιᾷ εἰσιοῦσι τῶν προπυλαίων καὶ ἡ τοῦ Ἀχιλλέως ἀνάκειται Θέτις, καρκίνοις τὴν κεφαλὴν διαστεφής· ὧν οἱ νῦν ἰδιῶται τὴν μὲν Γῆν φασὶ τὴν Ἀθηνᾶν, Θάλασσαν δὲ τὴν Θέτιν, τοῖς ἐν τῇ κεφαλῇ ἐνύδροις ἐξαπατώμενοι κνωδάλοις. || NICETAS ACOMINATVS de Isaacio Angelo p. 738 Bk. τῶν ἀγοραίων οἱ φιλοινότεροι τὸ ἑστὸς ἐπὶ στήλης ἐν τῷ Κωνσταντινείῳ φόρῳ τῆς Ἀθηνᾶς ἄγαλμα εἰς πλεῖστα διεῖλον τμήματα (a. 1203) . . . ἀνέβαινε μὲν τὴν ἡλικίαν ὄρθιον ὡς ἐς τριακάδα ποδῶν, ἠμφίεστο δὲ στολὴν ἐξ ὁποίας ὕλης ὅλον τὸ ἰνδαλλόμενον ἐκεχαλκούργητο· ποδήρης δ' ἦν ἡ στολὴ καὶ συμπτυσσομένη πολλαχῇ τῶν μερῶν . . . μίτρα δ' Ἄρεος τὴν ἰξὺν διειληφυῖα ἱκανῶς αὐτὴν περιέσφιγγεν. εἶχε δὲ κἀπὶ τοῖς στέρνοις ὀρθότιτθον ὂν ποικίλον αἰγιδῶδες ἐπένδυμα, τῶν ὤμων διεξικνούμενον, τὴν τῆς Γοργόνος τυποῦν κεφαλήν. ὁ δέ γε αὐχὴν ἀχίτων ὢν καὶ πρὸς τὸ δολιχόδειρον ἀνατεινόμενος ἄμαχον εἰς ἡδονὴν θέαμα ἦν . . . . ἵππουρις δ' ἐπικειμένη τῇ κεφαλῇ δεινὸν καθύπερθεν ἔνευεν. ἡ δὲ κόμη ἐς πλέγμα διεστραμμένη καὶ δεσμουμένη ὄπισθεν, ὅση κέχυτο ἐκ μετώπων, τρυφή τις ἦν ὀφθαλμῶν, μὴ ἐπίπαν τῷ κράνει συνεχομένη, ἀλλά τι καὶ παρεμφαίνουσα τοῦ πλοχμοῦ. τῶν δὲ χειρῶν ἡ μὲν λαιὰ τὰ συνεπτυγμένα τῆς ἐσθῆτος ἀνέστελλε, ἀτέρα δ' ἐκτεινομένη πρὸς κλίμα τὸ νότιον εἶχε τὴν κεφαλὴν ἠρέμα πως ἐγκλινομένην ἐκεῖ καὶ τὰς τῶν ὀφθαλμῶν ἐπ' ἴσης τεινομένας βολάς, ὅθεν οἱ μηδὲ τὰς θέσεις τῶν περάτων ὁπωσοῦν ἐπιστάμενοι ἐς ἑσπέραν ἀφορᾶν τὸ ἄγαλμα διετείνοντο καὶ οἷον ἐπισπᾶσθαι χειρὶ τὰ ἐκ δυσμόθεν στρατεύματα· κακῶς κρίνοντες . . . οἳ μὲν οὖν μετὰ τοιούτων κινημάτων τῆς διανοίας τὸ τῆς Ἀθηνᾶς συνέτριψαν ἄγαλμα.

Μῦς] Cf. ATHENAEVS *11* p. 782b ἔνδοξοι τορευταὶ . . . καὶ Μῦς, οὗ εἴδομεν σκύφον Ἡρακλεωτικὸν τεχνικῶς ἔχοντα Ἰλίου ἐντετορευμένην πόρθησιν, ἔχοντα ἐπίγραμμα τόδε· Γραμμαὶ Παρρασίοιο (Iacobs exercitt. crit. II p. 152: Πηρασίοιο cod.), τέχνα Μυός· ἐμμὶ δὲ ἔργον (εἰκὼν Meineke) Ἰλίου αἰπεινᾶς, ἃν ἕλον Αἰακίδαι. || Cf. CIA. II, 741 (*2* p. 511), *B*, 9 Μῦς Ἑρμίου ἰσ[οτελής] (circa annum 320). 7

ἡ τοῦ δόρατος αἰχμή] cf. ARISTOPHANES Thesm. 317 παγκρατὴς κόρα Γλαυκῶπι χρυσόλογχε, πόλιν Οἰκοῦσα περιμάχητον. cf. EVRIP. Ion. 8 πόλις Τῆς χρυσολόγχου Παλλάδος κεκλημένη. 9

loca signo uicina] DEMOSTHENES *19*, 272 (ad u. 5*) στήλη χαλκῆ Arthmii traditoris nomen continens παρὰ τὴν χαλκῆν τὴν μεγάλην Ἀθηνᾶν (ARISTIDES *46* p. 288 D. παραστήσαντες τῷ ἀγάλματι τῷ Μαραθωνόθεν). | LYCVRGVS Leocr. 117 (AA 67) Ἵππαρχον τὸν Χάρμου οὐχ ὑπομείναντα τῆς προδοσίας ἐν τῷ δήμῳ κρίσιν . . . . τὴν εἰκόνα αὐτοῦ ἐξ ἀκροπόλεως ἀνελόντες καὶ συγχωνεύσαντες καὶ ποιήσαντες στήλην ἐψηφίσαντο εἰς ταύτην ἀναγράφειν τοὺς ἀλιτηρίους καὶ τοὺς προδότας· καὶ αὐτὸς ὁ Ἵππαρχος ἐν ταύτῃ τῇ στήλῃ ἀναγέγραπται καὶ οἱ ἄλλοι δὲ προδόται. || THVCYDIDES *6*, 55 (AA 38) παῖδες αὐτῷ (Hippiae) μόνῳ φαίνονται τῶν γνησίων ἀδελφῶν γενόμενοι, ὡς ὅ τε βωμὸς σημαίνει καὶ ἡ στήλη περὶ τῆς τῶν τυράννων ἀτιμίας (Her- 9*

(28) Δύο δὲ ἄλλα ἐστὶν ἀναθήματα, Περικλῆς ὁ Ξανθίππου, καὶ τῶν ἔργων τῶν Φειδίου θέας 11
μάλιστα ἄξιον Ἀθηνᾶς ἄγαλμα, ἀπὸ τῶν ἀναθέντων καλουμένης Λημνίας.

11 καὶ ⟨ὁ⟩ τῶν Zink *Würzburger Festgruss*, 1868, p. 128

werden Mnemos. VIII p. 156: ἀδικίας libri) ἡ ἐν τῇ Ἀθηναίων ἀκροπόλει σταθεῖσα . . . . . καὶ ἐν τῇ αὐτῇ στήλῃ πρῶτος γέγραπται μετὰ τὸν πατέρα. || dubito num huc pertineant et CIA. IV, *2*, 15 *c* tabula foederis posita πρόσθεν τοῦ ἀγάλματος, et CIA. III, 638 statua Herculii posita παρὰ προμάχωι Παλλάδι Κεκροπίης (cf. ad c. 27, 8**), et HIERONYMVS in Zachar. 12 (VI p. 896) *in arce Atheniensium iuxta simulacrum Mineruae uidi sphaeram aheneam grauissimi ponderis, quam ego pro imbecillitate corpusculi mei mouere uix potui. cum autem quaererem quid sibi uellet, responsum est ab urbis eius cultoribus athletarum in illa massa fortitudinem comprobari, nec prius ad agonem quemquam descendere quam ex leuatione ponderis sciatur, quis cui debeat comparari.*

10 ἅρμα χαλκοῦν] HERODOTVS *5*, 77 οἱ ἱπποβόται ἐκαλέοντο οἱ παχέες τῶν Χαλκιδέων. ὅσους δὲ καὶ τούτων ἐζώγρησαν (Athenienses, a. 506) ἅμα τοῖσι Βοιωτῶν ἐζωγρημένοισι εἶχον ἐν φυλακῇ [ἐς πέδας] δήσαντες· χρόνῳ δὲ ἔλυσάν σφεας δίμνεως ἀποτιμησάμενοι, τὰς δὲ πέδας αὐτῶν ἐν τῇσι ἐδεδέατο ἀνεκρέμασαν ἐς τὴν ἀκρόπολιν· αἵπερ ἔτι καὶ ἐς ἐμὲ ἦσαν περιεοῦσαι, κρεμάμεναι ἐκ τειχέων περιπεφλευσμένων πυρὶ ὑπὸ τοῦ Μήδου, ἀντίον δὲ τοῦ μεγάρου τοῦ πρὸς ἑσπέρην τετραμμένου (cf. ad c. 26, 24). καὶ τῶν λύτρων τὴν δεκάτην ἀνέθηκαν ποιησάμενοι τέθριππον χάλκεον· τὸ δὲ ἀριστερῆς χειρὸς ἕστηκε πρῶτον ἐσιόντι ἐς τὰ (ἐξιόντι τὰ Wachsmuth *Stadt Athen* I p. 150) προπύλαια τὰ ἐν τῇ ἀκροπόλι (Cimonia, non Mnesiclea), ἐπιγέγραπται δέ οἱ τάδε· [1]Ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων δαμάσαντες [2]Παῖδες Ἀθηναίων ἔργμασιν ἐν πολέμου [3]Δεσμῷ ἐν ἀχλυόεντι (ἀχνυόεντι Hecker) σιδηρέῳ ἔσβεσαν ὕβριν· [4]Τῶν ἵππους δεκάτην Παλλάδι τάσδ' ἔθεσαν. | CIA. IV, *1*, 334 *a* (p. 78) fragmentum basis lap. Eleus. saeculi sexti exeuntis:

- - ἔσβεσαν ʽύβ]ριν: παῖδε[ς Ἀθεναίον - -
- - δαμάσαντες]: τôν ʽίππος δ[εκάτεν - -

quo demonstratur seriem uersuum ab origine fuisse 3 2 1 4. | CIA. I, 344 fragmentum basis marm. Pentel. aetatis Pericleae:

- - παῖδες Ἀθ]εναίον ἔργμα[σιν - -
- - τὸν ʽί]ππος δεκά[τεν - -

quam basin Herodotum descripsisse mutatus uersuum ordo arguit. || DIODORVS SIC. *10*, 24, 3 Ἀθηναῖοι δεξιῶς τῇ νίκῃ χρησάμενοι ἐπεὶ (RSchoell: καὶ ug.) νικήσαντες Βοιωτούς τε καὶ Χαλκιδεῖς εὐθὺς ἀπὸ τῆς μάχης Χαλκίδος ἐκυρίευσαν, ἐκ τῆς δεκάτης τῆς τῶν Βοιωτῶν ὠφελείας ἅρμα χαλκοῦν εἰς τὴν ἀκρόπολιν ἀνέθεσαν, τόδε τὸ ἐλεγεῖον ἐπιγράψαντες· Ἔθνεα — ἔθεσαν. (ANTHOLOGIAE PALATINAE *6*, 343 insertum est idem epigramma cum lemmate ἄδηλον, Ἡροδότου. Simonidi adscribit ARISTIDES *28*, 64 (*49* p. 512 D.), ubi scholia Parisini A (teste Keilio, cf. Frommel p. 351) adnotant οὕτως Ἄγρων ἐν ἐπιγράμματι (ἐπιγράμμασι· Keil) ἐπὶ τῷ τεθρίππῳ).

11 Περικλῆς] c. 25, 2 ὁ μὲν Περικλέους ἀνδριὰς ἑτέρωθι ἀνάκειται. || CIA. IV, *1*, 403 *a* (p. 154) fragmentum paruulae basis repertum in arce: [Περ]ικλέος. | [Κρεσ]ίλας ἐποίε (uel ἐποίε[σεν]). || PLINIVS *34*, 74 *Cresilas* (ad c. 23, 10) . . *et Olympium Periclen* (fecit), *dignum cognomine, mirumque in hac arte est quod nobiles uiros nobiliores fecit.* || Cf. CHRISTODORVS ecphr. 117 Ἠγασάμην δ' ὁρόων σε, Περίκλεες, ὅττι καὶ αὐτῷ Χαλκῷ ἀναυδήτῳ δημηγόρον ἦθος ἀνάπτεις, Ὡς ἔτι Κεροπίδῃσι θεμιστεύων πολιήταις Ἢ μόθον ἐντύνων Πελοπήιον. || PLVTARCHVS Pericl. 3 . . Περικλέα, τὰ μὲν ἄλλα τὴν ἰδέαν τοῦ σώματος ἄμεμπτον, προμήκη δὲ τὴν κεφαλὴν καὶ ἀσύμμετρον. ὅθεν αἱ μὲν εἰκόνες αὐτοῦ σχεδὸν ἅπασαι κράνεσι περιέχονται, μὴ βουλομένων ὡς ἔοικε τῶν τεχνιτῶν ἐξονειδίζειν· οἱ δ' Ἀττικοὶ ποιηταὶ σχινοκέφαλον αὐτὸν ἐκάλουν.

12 Ἀθηνᾶς ἄγαλμα Λημνίας (tab. XXXVII 11)] LVCIANVS imagg. 4 (Λυκ.) τῶν δὲ Φειδίου ἔργων τί μάλιστα ἐπῄνεσας; (Πολ.) τί δ' ἄλλο ἢ τὴν Λημνίαν, ᾗ καὶ ἐπιγράψαι τοὔνομα ὁ Φειδίας ἠξίωσε; | ibid. 6 τὴν δὲ τοῦ παντὸς προσώπου περιγραφὴν καὶ παρειῶν τὸ ἁπαλὸν καὶ ῥῖνα σύμμετρον ἡ Λημνία παρέξει καὶ Φειδίας. || ARISTIDES *34*, 28 (*50* p. 556 D., ad u. 5) . . τὴν Λημνίαν, ἅπαντα ταῦτα ὑπερβολὴν μὲν ἀρετῆς τῷ δημιουργῷ, τοῖς δὲ θεαταῖς ἡδονῆς ἔχει. || PLINIVS *34*, 54 *Phidias* . . *fecit* . . *ex aere* . . *Mineruam tam eximiae pulchritudinis ut formae* (*formosae* Osann *Arch. Zeit.* 1847 p. 65*) *cognomen acceperit.* | TITVLVS PAPHIVS (Kaibel 794) [Ἀσπί]δα καὶ Νείκην Παλλὰς χερὶ θι . . αι . . . . (θεῖσα πάρειμι Ross θεῖσ' ἐνὶ ἄλλῃ Welcker θεῖσα ἐπ' Ἄρηα uel ἐν αὐτῇ RSchoell) [Ὅπ]λων οὐ χρήζω πρὸς Κύπριν ἐρχομένη. | [Κεκρο]πίδης μ' ἀνέθηκε πάτρης ἄπο πατρίδ' ἐς ἄλλην [Ἑρ]μόδοτος Παφίοις Φειδιακὴν Χάριτα. || HIMERIVS or. *21*, 4 οὐκ ἀεὶ Δία Φειδίας ἔπλαττεν οὐδὲ σὺν ὅπλοις ἀεὶ τὴν Ἀθηνᾶν ἐχαλκεύετο, ἀλλὰ καὶ εἰς ἄλλους θεοὺς ἀφῆκε τὴν τέχνην καὶ τὴν παρθένον ἐκόσμησεν ἐρύθημα καταχέας τῆς παρειᾶς, ἵνα ἀντὶ κράνους ὑπὸ τούτου τῆς θεοῦ τὸ κάλλος κρύ-

13 Τῇ δὲ ἀκροπόλει, πλὴν ὅσον Κίμων ᾠκοδόμησεν αὐτῆς ὁ Μιλτιάδου, περιβαλεῖν τὸ λοιπὸν λέγεται τοῦ τείχους Πελασγοὺς οἰκήσαντάς ποτε ὑπὸ τὴν ἀκρόπολιν. φασὶ γὰρ Ἀργόλαν καὶ 3 (28)

13 aut αὐτῆς delendum aut ὠχύρωσεν scribendum censet Michaelis. ἐν αὐτῇ Hitzig ὁ παῖς Wieseler p. 335 | 14 Ἀργόλαν Goettling *Ges. Abh.* I p. 70: ἀγρόλαν libri

πτοιτο. || ANTHOL. PAL. APP. PLAN. 169 (εἰς ἄγαλμα Ἀφροδίτης τῆς ἐν Κνίδῳ καὶ τὴν ἐν Ἀθήναις Ἀθηνᾶν.) Ἀφρογενοῦς Παφίης ζάθεον περιδέρκεο κάλλος, Καὶ λέξεις "αἰνῶ τὸν Φρύγα τῆς κρίσεως". Ἀτθίδα δερκομενος πάλι Παλλάδα τοῦτο βοήσεις „Ὡς βούτης ὁ Πάρις τήνδε παρετρόχασεν". | HERMODORVS ibid. 170 (εἰς τὸ αὐτό.) Τὰν Κνιδίαν Κυθέρειαν ἰδών, ξένε, τοῦτό κεν εἴποις "Αὐτὰ καὶ θνατῶν ἄρχε καὶ ἀθανάτων", Τὰν δ' ἐνὶ Κεκροπίδαις δορυθαρσέα Παλλάδα λεύσσων Αὐδάσεις "ὄντως βουκόλος ἦν ὁ Πάρις".

13 Κίμων] cf. ad c. 21, 12.

14 τὸ Πελαργικὸν (τεῖχος) i. q. arx arcisque moenia] HERODOTVS *6*, 137 Πελασγοὶ ἐπείτε ἐκ τῆς Ἀττικῆς ὑπὸ Ἀθηναίων ἐξεβλήθησαν, εἴτε ὦν δὴ δικαίως εἴτε ἀδίκως — τοῦτο γὰρ οὐκ ἔχω φράσαι, πλὴν τὰ λεγόμενα ὅτι Ἑκαταῖος μὲν ὁ Ἡγησάνδρου ἔφησε ἐν τοῖσι λόγοισι λέγων ἀδίκως· ἐπείτε γὰρ ἰδεῖν τοὺς Ἀθηναίους τὴν χώρην, τὴν σφίσι αὐτοῖσι ὑπὸ τὸν Ὑμησσὸν ἐοῦσαν ἔδοσαν οἰκῆσαι, μισθὸν τοῦ τείχεος τοῦ περὶ τὴν ἀκρόπολίν κοτε ἐληλαμένου, ταύτην ὡς ἰδεῖν τοὺς Ἀθηναίους ἐξεργασμένην εὖ, τὴν πρότερον εἶναι κακήν τε καὶ τοῦ μηδενὸς ἀξίην, λαβεῖν φθόνον τε καὶ ἵμερον τῆς γῆς καὶ οὕτω ἐξελαύνειν αὐτοὺς οὐδεμίαν ἄλλην πρόφασιν προισχομένους [τοὺς Ἀθηναίους]. ὡς δὲ αὐτοὶ Ἀθηναῖοι λέγουσι, δικαίως ἐξελάσαι .... τοὺς δὲ οὕτω δὴ ἐκχωρήσαντας ἄλλα τε σχεῖν χωρία καὶ δὴ καὶ Λῆμνον. || DIONYSIVS HAL. antiqq. *1*, 28 (AA 21) Μυρσίλος .. τοὺς Τυρρηνούς φησιν, ἐπειδὴ τὴν ἑαυτῶν ἐξέλιπον, ἐν τῇ πλάνῃ μετονομασθῆναι Πελαργούς· ... καὶ τοῖς Ἀθηναίοις τὸ τεῖχος τὸ περὶ τὴν ἀκρόπολιν τὸ Πελαργικὸν (Chisianus: Πελασγικὸν Vrbinas) καλούμενον τούτους περιβαλεῖν. || PHOTIVS Πελαργικόν· τὸ ὑπὸ τῶν Τυρρηνῶν (ET. M. et ANECD. Bekk.: τυράννων cod.) κατασκευασθὲν τῆς ἀκροπόλεως τεῖχος· τούτους γὰρ κληθῆναι Πελαργούς, οἷον Πελασγούς, ὡς πλάνητάς τινας· ἢ ὅτι ἰδόντες αὐτοὺς πρῶτον οἱ Ἀθηναῖοι σινδόνας λαμπρὰς περιβεβλημένους πελαργοῖς εἴκασαν. (cf. ETYM. M., ANECD. Bekk. p. 299, 16, EVSTATH. ad Dionys. per. 347, HESYCHIVS.) || HERODOTVS *5*, 64 (AA 36) Κλεομένης ἀπικόμενος ἐς τὸ ἄστυ ἅμα Ἀθηναίων τοῖσι βουλομένοισι εἶναι ἐλευθέροισι ἐπολιόρκεε τοὺς τυράννους ἀπεργμένους ἐν τῷ Πελασγικῷ τείχεϊ. || ARISTOTELES de re publ. Athen. 19 (AA 37) κατακλῄσας (Cleomenes) τὸν Ἱππίαν εἰς τὸ καλούμενον Πελαργικὸν τεῖχος ἐπολιόρκει ... παρέδωκαν τὴν ἀκρόπολιν. || MARMOR. PAR. (CIGr. 2374) ep. 45 ἀφ' οὗ ... Ἀθηναῖοι [ἐξανέστ]ησαν τοὺς Πεισιστρατίδας ἐκ [τοῦ Πε]λασ[γικ]οῦ τείχους, ἔτη ΗΗΔΔΔΔΠΙΙΙ (Ol. 67, 2 = 510).

14* τὸ Πελαργικὸν ἐννεάπυλον] ANECDOTA Bekk. p. 419, 27 ἄπεδον· τὸ ἰσόπεδον καὶ τό ὁμαλόν· Θουκυδίδης. τὰ ἰσόπεδα· Κλείδημος (fr. 22) "καὶ ἠπέδιζον τὴν ἀκρόπολιν, περιέβαλλον δὲ ἐννεάπυλον τὸ Πελαργικόν" (Πελασγικόν SVIDAS ἄπεδα et ἠπέδιζον). | cf. SCHOL. SOPHOCLIS Oed. Col. 489 Πολέμων (fr. 49) ἐν τοῖς πρὸς Ἐρατοσθένην φησὶν οὕτω "... οὗ (Hesychi herois) τὸ ἱερόν ἐστι παρὰ τὸ Κυλώνειον (COMueller ad Leakii topogr. p. 455: Κυδώνιον cod.) ἐκτὸς τῶν ἐννέα πυλῶν. || ARISTOPHANES au. 832 Τίς δαὶ καθέξει τῆς πόλεως τὸ Πελαργικόν; | SCHOLION RV ὅτι Ἀθήνησι τὸ Πελαργικὸν τεῖχος (ἐν τῇ ἀκροπόλει add. V), οὗ μέμνηται Καλλίμαχος "Τυρσηνῶν τείχισμα Πελαργικόν". | SCHOLION RV 836 Δίδυμός φησι τὸ Πελαργικὸν τεῖχος ἐπὶ πετρῶν κεῖσθαι. | SCHOLION RV 1139 διὰ τὸ ⟨τὸ⟩ Πελαργικὸν τεῖχος τοὺς ἀπὸ Τυρρηνίας ἥκοντας ἀναστῆσαι. || HESYCHIVS Πελασγικόν· τειχίον οὕτω ἐν Ἀθήναις καλούμενον Τυρρηνῶν κτισάντων. || STRABO *9* p. 401 (Ephorum secutus) προσθέντες δὲ (Boeotii) τῇ Βοιωτίᾳ τὴν Ὀρχομενίαν . . μετ' ἐκείνων ἐξέβαλον τοὺς μὲν Πελασγοὺς εἰς Ἀθήνας, ἀφ' ὧν ἐκλήθη μέρος τι τῆς πόλεως Πελασγικόν κ. τ. λ.

14** τὸ Πελαργικὸν ἀργόν] TITVLVS ELEVSINIVS (AA 93) CIA. IV, *1*, 27 *b* (p. 59): [47][Λ]άμπων εἶπε· .... [54]τὸν δὲ βασ[ι]λέα ὁρίσαι τὰ ἱερὰ τὰ ἐν τ[ô]|[55]ι Πελαργικôι, καὶ τὸ λοιπὸν μὲ ἐνιδρύεσθαι βομὸς ἐν τôι Πελα|[56]ργικôι ἄνευ τε͂ς βολε͂ς καὶ τô δήμο, μεδὲ τὸς λίθος τέμνεν ἐκ τô [Π]|[57]ελαργικô, μεδὲ γε͂ν ἐχσάγεν μεδὲ λίθος· ἐὰν δέ τις παραβαίνει |[58] τούτον τι, ἀποτινέτο πεντακοσίας δραχμάς, ἐσαγγελλέτο δὲ |[59][ὁ] βασιλεὺς ἐς τὲν βολήν. || THVCYDIDES *2*, 17 τό τε Πελαργικὸν (Laurent. C: Πελασγικὸν ug.) καλούμενον τὸ ὑπὸ τὴν ἀκρόπολιν, ὃ καὶ ἐπάρατόν τε ἦν μὴ οἰκεῖν καί τι καὶ Πυθικοῦ μαντείου ἀκροτελεύτιον τοιόνδε διεκώλυε, λέγον ὡς "τὸ Πελαργικὸν (Laur.: Πελαργικὸν ug.) ἀργὸν ἄμεινον", ὅμως ὑπὸ τῆς παραχρῆμα ἀνάγκης ἐξῳκήθη. | SCHOLION οἱ γὰρ Πελασγοὶ αὐτὸ οἰκήσαντες ἐπεβούλευσαν τοῖς Ἀθηναίοις· οὓς διώξαντες πάλιν οἱ Ἀθηναῖοι κατηράσαντο τὸν τόπον μὴ οἰκισθῆναι. || CRATINVS fr. inc. 22 (ad u. 20) Πὰν Πελασγικὸν ἀργὸν ἐμβατεύων. || POL-

(28) Ὑπέρβιον * * * πυνθανόμενος δὲ οἵτινες ἦσαν οὐδὲν ἄλλο ἐδυνάμην μαθεῖν ἢ Σικελοὺς τὸ ἐξ ἀρχῆς ὄντας ἐς Ἀκαρνανίαν μετοικῆσαι.

4 Καταβᾶσι δέ, οὐκ ἐς τὴν κάτω πόλιν ἀλλ' ὅσον ὑπὸ τὰ Προπύλαια, πηγή τε ὕδατός ἐστι καὶ πλησίον Ἀπόλλωνος ἱερὸν ἐν σπηλαίῳ. Κρεούσῃ δὲ θυγατρὶ Ἐρεχθέως Ἀπόλλωνα ἐνταῦθα συγγενέσθαι νομίζουσι.

15 nonnulla excidisse uidit Loescher. Ὑπέρβιον τοὺς οἰκοδομήσαντας εἶναι Kayser *Zeitschr. f. Alt.-Wiss.* 1848 p. 502 | 15 ἐς add. Kuhn | Ἀκαρνίαν duo codices deteriores Ἀρκαδίαν ECurtius *N. rhein. Mus.* VIII p. 137 Ἀχαρνάς Schubart et Walz | 17 ⟨ἐς⟩ ὅσον Hitzig p. 309 | ⟨πικροῦ⟩ ὕδατος Letronne *Class. Journ.* XIII, 1816, p. 325 | 18 post σπηλαίῳ uulgo Musuri glossema legebatur καὶ Πανός a codicibus alienum, quod praeeunte Clauerio Schubart deleuit

LVX *8*, 101 (nomen magistratus periit) οὗτοι παρεφύλαττον μή τις ἐντὸς τοῦ Πελασγικοῦ κείρει ἢ κατὰ πλέον ἐξορύττει, καὶ τῷ ἄρχοντι παρεδίδοσαν. τὸ δὲ τίμημα ἦν τρεῖς δραχμαὶ καὶ ἁπλοῦν τὸ βλάβος. || LIBANIVS I p. 470 ἐξάγιστος ἡ πόλις ὡς ὁ Κιρραίων λιμήν, ἐπάρατος ὡς τὸ Πελασγικὸν ἐκεῖνο.

14*** Pelargici situs (tab. III. XVII)] LVCIANVS bis accus. 9 τὸ ὑπὸ τῇ ἀκροπόλει σπήλαιον τοῦτο ἀπολαβόμενος (Pan, cf. ad u. 20) οἰκεῖ μικρὸν ὑπὲρ τοῦ Πελασγικοῦ. | SCHOLION τόπος Ἀθήνησιν, ἀπὸ Πελασγῶν ἐν αὐτῷ οἰκησάντων. γράφεται καὶ διὰ τοῦ ρ̄. || IDEM pisc. 42 βαβαὶ ὡς πλήρης μὲν ἡ ἄνοδος ὠθιζομένων, ἐπεὶ τὰς δύο μνᾶς ἤκουσαν μόνον· παρὰ δὲ τὸ Πελασγικὸν ἄλλοι, καὶ κατὰ τὸ Ἀσκληπιεῖον ἕτεροι, καὶ παρὰ τὸν Ἄρειον πάγον ἔτι πλείους, ἔνιοι δὲ καὶ κατὰ τὸν τοῦ Τάλω τάφον, οἱ δὲ καὶ πρὸς τὸ Ἀνακεῖον προσθέμενοι κλίμακας ἀνέρπουσι. | 47 (Ἱέρ.) δελεάσας τὸ ἄγκιστρον ἰσχάδι καὶ τῷ χρυσίῳ καθεζόμενος ἐπὶ τὸ ἄκρον τοῦ τειχίου καθῆκεν ἐς τὴν πόλιν. (Φιλ.) τί ταῦτα, ὦ Παρρησιάδη, ποιεῖς; ἢ που τοὺς λίθους ἁλιεύσειν διέγνωκας ἐκ τοῦ Πελασγικοῦ; || PHILOSTRATVS uitt. soph. *2*, 1, 5 ἐκ Κεραμεικοῦ δὲ ἄρασαν (nauem Panathenaicam ab Herode ornatam) χιλίᾳ κώπῃ ἀφεῖναι ἐπὶ τὸ Ἐλευσίνιον, καὶ περιβαλοῦσαν αὐτὸ παραμεῖψαι τὸ Πελασγικόν, κομιζομένην τε παρὰ τὸ Πύθιον ἐλθεῖν οἷ νῦν ὥρμισται.

14** Ἀργόλας καὶ Ὑπέρβιος] Cf. PLINIVS 7, 194 *laterarias ac domos constituerunt primi Euryalus* (*Agrolas* Reinesius uar. lectt. p. 169; immo *Argolas*) *et Hyperbius fratres Athenis; antea specus erant pro domibus.*

17 πηγὴ ὕδατος (tab. VII, 50. XVII)] ARISTOPHANES Lys. 911 (Κι.) τὸ τοῦ Πανὸς καλόν. (Μυ.) Καὶ πῶς ἔθ' ἁγνὴ δῆτ' ἂν ἔλθοιμ' ἐς πόλιν; (Κι.) Κάλλιστα δήπου, λουσαμένη τῇ Κλεψύδρᾳ. | SCHOLION R 911 πλησίον δὲ τοῦ Πανείου ἡ Κλεψύδρα ἦν κρήνη. | SCHOLION R 913 ἐν τῇ ἀκροπόλει ἦν κρήνη (πηγὴ Suid.) ἡ Κλεψύδρα, πρότερον Ἐμπεδὼ λεγομένη, ὠνομάσθη δὲ Κλεψύδρα διὰ τὸ ποτὲ μὲν πλημμυρεῖν ποτὲ δὲ ἐνδεῖν. (cf. SVIDAS Κλεψύδρα.) ἔχει δὲ τὰς ῥύσεις ὑπὸ γῆν φερούσας εἰς τὸν Φαληρέων δῆμον (Michaelis: φλεγρεω δη δ' R Φλεγρεώδη λειμῶνα ug. Φαληρέων λίμενα Wordsworth *Athens* p. 69). | HESYCHIVS Κλεψύδρα· κρήνη ἥτις τὸ πρότερον Ἐμπεδὼ (μὲν Πεδὼ Tollius) προσηγορεύετο (SCHOL. V ARISTOPH. uesp. 857) . . . ἔχει δὲ τὰς ῥύσεις ἀνατελλούσας εἰς τὸν Φαληρέων δῆμον (cf. ad c. 21, 25). | SCHOL. RV ARISTOPHANIS au. 1694 κρήνη ἐν ἀκροπόλει ἡ Κλεψύδρα (PHOTIVS Κλεψύδρα), ἧς Ἴστρος ἐν τῇ ιβ' (fr. 11) μέμνηται, τὰ παρὰ τοῖς συγγραφεῦσιν ἀναλεγόμενος. οὕτως δὲ ὠνομάσθαι (R: ὠνόμασται V), ἐπειδὴ ἀρχομένων τῶν ἐτησίων πληροῦται, παυομένων δὲ λήγει, ὁμοίως τῷ Νείλῳ, ὥσπερ καὶ τὴν ἐν Δήλῳ κρήνην. εἰς ταύτην δέ φησιν ἡματωμένην φιάλην πεσοῦσαν ὀφθῆναι ἐν τῷ Φαληρικῷ ἀπέχοντι σταδίους εἴκοσι. φασὶ δὲ αὐτὴν ἀπέραντον βάθος ἔχειν, τὸ δὲ ὕδωρ ἁλμυρόν. (cf. HESYCHIVS κλεψίρρυτον ὕδωρ.) || SCHOL. RV ARISTOPHANIS au. 1694 Κλεψύδρα κρήνη ἐν ἄστει (Bentleius: ἄργει RV ἀκροπόλει Duebner). | HESYCHIVS Πεδώ· ἡ νῦν καλουμένη Κλεψύδρα, κρήνη ἐν ἄστει. || PLVTARCHVS Anton. 34 (AA 221) κατά τι λόγιον ἀπὸ τῆς Κλεψύδρας ὕδατος ἐμπλησάμενος ἀγγεῖον ἐκόμιζεν (Antonius). || Cf. SOLINVS p. 64, 20 M. *Callirrhoen stupent fontem, nec ideo Cruneson* (*croneson* uel *crunescon* alii libri *Cruniscon* ECurtius *Herm.* XXI p. 200 *Enneacrunon* ug. cf. Plin. *4*, 24) *fontem alterum nullae rei numerant.*

Ἀπόλλωνος ἱερὸν (tab. XXII, ΒΓ)] tabulae 18 marmoreae aetatis Romanae, coronis ornatae, in antro Γ uel in locis uicinis repertae, ab archontibus uel thesmothetis dicatae sunt Ἀπόλλωνι Ὑποακραίωι (CIA. III, 91) uel Ἀπόλλωνι ὑπ' Ἄκραις (CIA. III, 92. *Athen. Mitth.* 1878 p. 144. Ἐφημ. ἀρχ. 1897 tab. 4, 2) uel Ἀπόλλωνι ὑπὸ Μακραῖς (Ἐφημ. l. l. 1. 8) uel Ἀπόλλων[ι - -] (CIA. III, 95). in specu prope Clepsydram (tab. XVII, A) solus Goettling *Ges. Abh.* I p. 103 [Ἀ]πόλ[λωνι] rupi incisum legere sibi uisus est. || PHILOSTRATVS uitt. sophistt. *2*, 1, 5 (ad u. 14***) παρὰ τὸ Πύθιον, οἷ νῦν ὥρμισται (nauis Panathenaica). | EVRIPIDES Ion. 283 (Ἴων) Μακραὶ δὲ χῶρός ἐστ'

* * * ὡς πεμφθείη Φιλιππίδης ἐς Λακεδαίμονα ἄγγελος ἀποβεβηκότων Μήδων ἐς τὴν γῆν, **(28)** ἐπανήκων δὲ Λακεδαιμονίους ὑπερβαλέσθαι φαίη τὴν ἔξοδον· εἶναι γὰρ δὴ νόμον αὐτοῖς μὴ πρό-

20 ἐνταῦθα καὶ τοῦ Πανὸς ἱερόν mg. Paris. 1399. ante Schubartum uulgo edebatur περὶ δε τοῦ Πανός φασιν ὡς κ. τ. λ. e Musuri interpolatione ⟨κατὰ δὲ ταὐτὸν ἄντρον καὶ Πανὸς ἵδρυται βωμὸς διὰ ταύτην τὴν αἰτίαν· λέγουσι γὰρ⟩ ὡς Enthouen de Ione fab. Eurip. p. 37 | Φειδιππίδης Dindorf ex Herodoto *6*, 105, ubi Romanus Φιλιππίδης habet

ἐκεῖ κεκλημένος; .. 285 Τιμᾷ σφε Πυθώ τ' (GHermannus: πύθιος libri Φοῖβος Matthiae) ἀστραπαί τε Πύθιαι. . . 287 Τί δέ; στυγεῖς σὺ τοῦ θεοῦ τὰ φίλτατα; | Cf. STRABO *9* p. 404 .. τοῦ Ἅρματος τοῦ κατὰ τὴν Ἀττικήν, ὅ ἐστι περὶ Φυλήν . . ἐντεῦθεν δὲ ἡ παροιμία τὴν ἀρχὴν ἔσχεν ἡ λέγουσα "ὁπόταν δι' Ἅρματος ἀστράψῃ", ἀστραπήν τινα σημειουμένων κατὰ χρησμὸν τῶν λεγομένων Πυθαϊστῶν, βλεπόντων ὡς ἐπὶ τὸ Ἅρμα καὶ τότε πεμπόντων τὴν θυσίαν εἰς Δελφοὺς ὅταν ἀστράψαντα ἴδωσιν· ἐτήρουν δ' ἐπὶ τρεῖς μῆνας, καθ' ἕκαστον μῆνα ἐπὶ τρεῖς ἡμέρας καὶ νύκτας, ἀπὸ τῆς ἐσχάρας τοῦ Ἀστραπαίου Διός· ἔστι δ' αὕτη ἐν τῷ τείχει μεταξὺ τοῦ Πυθίου καὶ τοῦ Ὀλυμπίου. || ARISTOPHANES Lys. 917. 937. 942 (prope Apollinis antrum) μὰ τὸν Ἀπόλλω.


18* σπήλαιον (tab. XVII, Δ?)] EVRIPIDES Ion. 10 Οὗ (Athenis) παῖδ' Ἐρεχθέως Φοῖβος ἔζευξεν γάμοις Βίᾳ Κρέουσαν, ἔνθα προσβορροὺς πέτρας Παλλάδος ὑπ' ὄχθῳ τῆς Ἀθηναίων χθονὸς Μακρὰς καλοῦσι γῆς ἄνακτες Ἀτθίδος. .. 16 Τεκοῦσ' ἐν οἴκοις παῖδ' ἀπήνεγκεν βρέφος Ἐς ταὐτὸν ἄντρον οὗπερ ηὐνάσθη θεῷ Κρέουσα κἀκτίθησιν ὡς θανούμενον. | 288 (cf. ad u. 18) (Κρ.) ξύνοιδ' ἄντροισιν αἰσχύνην τινά. | 936 (Κρ.) Ἄκουε τοίνυν· οἶσθα Κεκροπίας πέτρας [Πρόσβορρον ἄντρον, ἃς Μακρὰς κικλήσκομεν;] (uersum damnarunt cum alii tum Badham.) (Παι.) Οἶδ', ἔνθα Πανὸς ἄδυτα καὶ βωμοὶ πέλας. (Κρ.) Ἐνταῦθ' ἀγῶνα δεινὸν ἠγωνίσμεθα. | 1482 Παρ' ἀηδόνιον πέτραν Φοίβῳ . . Κρυπτόμενον λέχος ηὐνάσθην. .. 1484 Ἀνὰ δ' ἄντρον ἔρημον οἰωνῶν Γαμφηλαῖς φόνευμα θοίναμά τ' εἰς Ἅιδαν ἐκβάλλει. | 1398 Ὁρῶ γὰρ ἄγγος οὐξέθηκ' ἐγώ ποτε Σέ γ', ὦ τέκνον, μοι βρέφος ἔτ' ὄντα νήπιον Κέκροπος ἐς ἄντρα καὶ Μακρὰς πετρηρεφεῖς. (uersum 1400 damnauit Paley.)

18** Ἐρεχθέως τάφος (tab. XVII, γ?)] EVRIPIDES Ion. 277 (Ἴων) Πατὴρ Ἐρεχθεὺς σὰς ἔθυσε συγγόνους; (Κρ.) Ἔτλη πρὸ γαίας σφάγια παρθένους κτανεῖν. (cf. ad c. 27, 13. 25) . . 281 (Ἰ.) Πατέρα δ' ἀληθῶς χάσμα σὸν κρύπτει χθονός; (Κρ.) Πληγαὶ τριαίνης Ποντίου σφ' ἀπώλεσαν. (Ἰ.) Μακραὶ δὲ χῶρός ἐστ' ἐκεῖ κεκλημένος;

20 Πανὸς ἱερόν (tab. XVII, Δ, p. 89, 1—3.)] HERODOTVS *6*, 105 καὶ ταῦτα μὲν (Panos promissa a Phidippide nuntiata) Ἀθηναῖοι καταστάντων σφι εὖ ἤδη τῶν πρηγμάτων πιστεύσαντες εἶναι ἀληθέα ἱδρύσαντο ὑπὸ τῇ ἀκροπόλι Πανὸς ἱρὸν καὶ αὐτὸν ἀπὸ ταύτης τῆς ἀγγελίης θυσίῃσι ἐπετέῃσι καὶ λαμπάδι ἱλάσκονται. || CRATINVS fr. inc. 22 χαῖρε χρυσόκερω βαβάκτα κήλων Πάν, Πελασγικὸν ἀργὸν (Wilamowitz *Herm.* XIV p. 183: Ἄργος HEPHAESTIO c. 10 et ETYM. M. βαβάκτης) ἐμβατεύων. || LVCIANVS diall. deor. 22, 3 πρῴην Ἀθηναίοις συμμαχήσας οὕτως ἠρίστευσα Μαραθῶνι, ὥστε καὶ ἀριστεῖον ἡρέθη μοι τὸ ὑπὸ τῇ ἀκροπόλει σπήλαιον. | bis. accus. 9 οὗτος (Pan) ᾤκει μὲν τὸ πρόσθεν ἀνὰ τὸ Παρθένιον, ὑπὸ δὲ τὸν Δάτιδος ἐπίπλουν καὶ τὴν Μαραθωνάδε τῶν βαρβάρων ἀπόβασιν ἧκεν ἄκλητος τοῖς Ἀθηναίοις ξύμμαχος, καὶ τὸ ἀπ' ἐκείνου τὸ ὑπὸ τῇ ἀκροπόλει σπήλαιον τοῦτο ἀπολαβόμενος οἰκεῖ μικρὸν ὑπὲρ τοῦ Πελασγικοῦ ἐς τὸ μετοίκιον ξυντελῶν. | 12 ἐγὼ δὲ (Pan loquitur) ἐπὶ τὸ σπήλαιον ἀπελθὼν συρίξομαί τι μέλος τῶν ἐρωτικῶν, ᾧ τὴν Ἠχὼ εἴωθα ἐπικερτομεῖν. || SCHOLION CLEMENTIS ALEX. protr. 3, 44 p. 47, 3 τὸ καθύπερθεν (καταντικρὺ?) σπήλαιον τοῦ Ἀρείου πάγου τεμενίσαντες (Athenienses) αὐτῷ ἔνορχον τράγον ὅσα ἔτη ἔθυον αὐτῷ. || EVRIPIDES Ion. 938 Πανὸς ἄδυτα καὶ βωμοί. || ARISTOPHANES Lys. 720 Τὴν μέν γε πρώτην διαλέγουσαν τὴν ὀπὴν Κατέλαβον, ᾗ τοῦ Πανός ἐστι ταὐλίον. | 911 (ad u. 17) τὸ τοῦ Πανός. | SCHOLION πλησίον τοῦ Πανείου ἡ Κλεψύδρα ἦν κρήνη. || SIMONIDES anthol. Pal. app. Plan. 232 Τὸν τραγόπουν ἐμὲ Πᾶνα, τὸν Ἀρκάδα, τὸν κατὰ Μήδων, Τὸν μετ' Ἀθηναίων στήσατο Μιλτιάδης. | ibid. 259 Πέτρης ἐκ Παρίης με πόλιν κατὰ Παλλάδος ἄκρην Στῆσαν Ἀθηναῖοι Πᾶνα τροπαιοφόρον. || EVRIPIDES Ion. 492 Ὦ Πανὸς θακήματα καὶ Παραυλίζουσα πέτρα Μυχώδεσι Μακραῖς, Ἵνα χοροὺς στείβουσι ποδοῖν Ἀγραύλου· (cf. ad c. 27, 13) κόραι τρίγονοι Στάδια χλοερὰ πρὸ Παλλάδος Ναῶν, συρίγγων Ὑπ' αἰόλας ἰαχᾶς Ὕμνων, ὅταν αὐλίοις Συρίζῃς, ὦ Πάν, Τοῖσι σοῖς ἐν ἄντροις, Ἵνα τεκοῦσά τις Παρθένος, ὦ μελέα, βρέφος Φοίβῳ, πτανοῖς ἐξώρισε θοίναν Θηρσί τε φοινίαν δαῖτα, πικρῶν γάμων Ὕβριν. | ARISTIDES 13 p. 161 D. πεδίων κάλλη καὶ χάριτας . . ἀπὸ τῆς ἀκροπόλεως κεχυμένων καὶ ἐγκαταμιγνυμένων τῇ πόλει.

(28) τερον μαχουμένους ἐξιέναι πρὶν ἢ πλήρη τὸν κύκλον τῆς σελήνης γενέσθαι. τὸν δὲ Πᾶνα ὁ Φι- 22
λιππίδης ἔλεγε περὶ τὸ ὄρος ἐντυχόντα οἱ τὸ Παρθένιον φάναι τε ὡς εὔνους Ἀθηναίοις εἴη καὶ ὅτι ἐς Μαραθῶνα ἥξει συμμαχήσων. οὗτος μὲν οὖν ὁ θεὸς ἐπὶ ταύτῃ τῇ ἀγγελίᾳ τετίμηται.

scalae et posticula (tab. VII, 46. XVI, EZH)] cf. ARISTOPHANES Lys. 916 seqq.



Mercurius Nympharum chorum ducit prope antrum Panos
βωμῷ χερμάσι τετυγμένῳ et persona Acheloi ornatum

INDEX MONVMENTORVM ARCIS

QVORVM VEL APVD PAVSANIAM VEL IN COMMENTARIO MENTIO FIT

INSERTIS MONVMENTIS A PAVSANIA PRAETERMISSIS

QVAE QVO LOCO OLIM STETERINT NON CONSTAT

Ἀγλαύρου ἱερόν ad 27, 13

ἀγορὰ ἀρχαία ad 22, 12

Ἁδριανοῦ εἰκών 24, 48

Ἀθηνᾶ. ἀγάλματα ἀρχαῖα 27, 37. Ἐνδοίου 26, 23. Ἐργάνη 24, 15. Λημνία 28, 12. Λινδία ad 28, 5**. Νίκη ad 22, 22. Παρθένος 24, 35. Πολιάς 26, 35. ad 28, 5. Ὑγίεια 23, 25. ἡ χαλκῆ ἡ μεγάλη 28, 5. 5*. — ἐκ τῆς κεφαλῆς τοῦ Διὸς ἀνιοῦσα 24, 11. γένεσις 24, 33. τὴν ἐλαίαν ποιοῦσα 24, 24. Μαρσύαν παίουσα 24, 1. — ὁ ἀρχαῖος νεώς ad 26, 25*. 25**. ὁ παλαιὸς νεώς ad 26, 24

Αἰγέως ἡρῷον 22, 29

αἰγὶς χρυσῆ 21, 13

Αἰδοῦς βωμός ad 27, 8*

Αἰσχύλου εἰκών 21, 7

ἀκροπόλεως ὀνόματα ad 22, 17

Ἁλιρροθίου κρήνη 21, 25. 25*

Ἀλκιβιάδης Νεμεονίκης γεγραμμένος 22, 39

Ἀμαζόνων πρὸς Ἀθηναίους μάχη ad 24, 41. 25, 9

Ἀμμωνιὰς γεγραμμένη ad 22, 38*

ἀναβάσεως ἔργον ad 22, 17**

ἀναδούμενος u. ἠίθεος

ἀναθήματα (πλησίον τῶν ἀναθ.) AA 196

Ἀνακρέοντος εἰκών 25, 3

Ἀνακώ u. Νακώ

ἀνὴρ κράνος ἐπικείμενος, Κλεοίτου τέχνη 24, 18

Ἀνθεμίων u. Δίφιλος

ἄνοδος ad 22, 17*

Ἀντέρωτος βωμός u. Τιμαγόρας

Ἀντωνίου εἰκών ad 25, 8

Ἀπόλλωνος Ἀγυιέως βωμός ad 22, 17**. ὑπ' Ἄκραις siue ὑπὸ Μακραῖς ἱερόν 28, 18. Παρνόπιος 24, 50

ἀργυρόπους δίφρος ad 24, 34***

Ἀρθμίου στήλη 28, 9*

Ἀριάδνη γεγραμμένη 20, 9

ἅρμα χαλκοῦν 28, 10

armamentarium u. χαλκοθήκη

ἄροτος καὶ ἄροτρον Βουζύγιον ad 22, 15**

ἀρρηφόρων σφαιρίστρα 27, 15

Ἄρτεμις Βραυρωνία 23, 42. Ἑκάτη, Ἐπιπυργιδία, Ἡγεμόνη, Προπυλαία, Φωσφόρος ad 22, 23*. Λευκοφρυηνή 26, 18

ἀρχαῖος νεώς ad 26, 25*. 25**

Ἀσκληπιοῦ ἱερόν 21, 23

ἀσπίδες Λακωνικαί ad 27, 5. χρυσαῖ βασιλέως Ἀλεξάνδρου ἀνάθημα ad 25, 43

Ἀστυδάμαντος εἰκών ad 21, 2

Ἀττάλου ἀναθήματα 25, 8 et ad 10*. κολοσσός ad 25, 8

Ἀφελείας βωμός ad 27, 8*

Ἀφροδίτη ἐπὶ Ἱππολύτῳ ad 22, 4*. Πάνδημος 22, 12. Σώσανδρα 23, 9

Ἀχιλλεὺς ἐν Σκύρῳ διαιτώμενος, γραφή 22, 36. εἰκών ad 24, 47

Βλαύτης σηκός ad 22, 15

βοίδιον Μύρωνος] TZETZES chiliad. *8*, 370 Μύρων ὑπῆρχε χαλκουργός, οὗπερ πολλὰ μὲν ἔργα, Ἓν δὲ τὸ περιθρύλητον μέχρι τοῦ νῦν τοῦ χρόνου, Ἡ πρὶν περὶ ἀκρόπολιν τῶν Ἀθηνῶν ἑστῶσα Βοῦς δάμαλις χαλκῆ ◡– καὶ τοὺς μαστοὺς σπαργῶσα· Ἣν λόγος ζῶν μυκώμενος ἦλθε θηλᾶσαι μόσχος. ‖ CICERO Verr. *4*, 135 *quid Athenienses (arbitramini merere uelle) ut ... ex aere Myronis buculam (amittant)?* ‖ PLINIVS *34*, 57 *Myronem .. bucula maxime nobilitauit celebratis uersibus laudata, quando alieno plerique ingenio magis quam suo commendantur.* ‖ AVSONIVS epigr. 65 *Aerea bos steteram: mactata est uacca Mineruae, Sed dea proflatam transtulit huc animam.* ‖ ANTHOLOGIA PALAT. *9*, 714 Τίπτε, Μύρων, μὲ τὸ βοίδιον ἐνταυθοῖ παρὰ βωμοῖς Ἔστασας; οὐκ ἐθέλεις εἰσαγέμεν μέγαρον; ‖ IBID. 713 Βοίδιόν εἰμι Μύρωνος, ἐπὶ στήλης δ' ἀνάκειμαι. | LEONIDAS TARENT. ibid. 719 βοσκομέναν δὲ Ἐξ ἀγέλας ἐλάσας δῆσε βάσει λιθίνῳ. | ANTIPATER SIDON. ibid. 723 Ἁ μόλιβος κατέχει με καὶ ἁ λίθος. | IDEM ibid. 720 Εἰ μή μου ποτὶ τᾷδε Μύρων πόδας ἥρμοσε πέτρᾳ κ. τ. λ. ‖ PROCOPIVS de bello Goth. *4*, 21 διὰ τῆς ἀγορᾶς ἣν φόρον Εἰρήνης καλοῦσιν Ῥωμαῖοι .. ἐνταῦθα καὶ τὸ τοῦ Μύρωνος βοίδιον.

Βουζύγιος ἄροτος ad 22, 15**

βοῦς ἐν πόλει ad 24, 12

Βουταδῶν τοῦ γένους γραφαί 26, 28

Βούτου βωμός 26, 27

Βραυρώνιον 23, 42

